τύχῃ οἷος τε γένοιτο ἐπὶ φιλοσοφίαν προτρεψάμενος μεγάλων ἀγαθῶν αἷς
ἦρχε πόλεσιν αἴτιος καταστῆναι, εἰδὼς τοὺς τυράννους μέγιστον ἐφ' ὅ τι
5 *ἂν ὁρμήσειαν δυναμένους, εἴτε ἀγαθὸν ἄν τι εἴτε μοχθηρόν. τοῦ μὲν οὖν*
τυράννου οὐδὲ παρὰ μικρὸν ἀπέτυχεν, ἀλλ' ὥστε ὀργισθέντα ἐπὶ τῇ παρ-
ρησίᾳ Πόλιδι τῷ Λακεδαιμονίων ναυάρχῳ ἐκδοῦναι ἐπὶ πράσει, πολέμου
ὄντος τότε πρὸς Ἀθηναίους Λακεδαιμονίοις, οὗ καὶ πωλοῦντος περὶ
Αἴγιναν, κατὰ τύχην Κυρηναῖος ἀνήρ, Ἀνίκερις τοὔνομα, ὠνεῖται, καὶ τῶν
ἑταίρων τὰ λύτρα αὐτῷ προσφερόντων οὐκ ἐδέξατο εἰπὼν μὴ μόνους
αὐτοὺς Πλάτωνος ἀξίους εἶναι κήδεσθαι. τὰ μὲν οὖν πρὸς τὸν τύραννον
αὐτῷ τοιαῦτα συνέβη.
17 *Δίωνι δὲ τότε ἐντυχὼν νέῳ ὄντι, οὕτως εὐφυᾶ εὗρε πρὸς φιλοσοφίαν,*
ὡς μηδενὸς τῶν Πλάτωνος ἑταίρων τὰ ἐς φιλοσοφίαν Δίωνα ἀπολειφθῆναι.
κοσμίως μέντοι ἤδη βιῶν Δίων διὰ τὴν φιλοσοφίαν, ἐπαχθέστερος τοῖς
2 *τρυφῶσι καὶ κατὰ τὰ τυραννικὰ ἔθη βιοῦσιν ἀπέβη. Διονύσιος δ' οὗτος*

3 c. 16, 2 Demosth. 20, 162; Diod. 16, 9, 1–2 || 7 c. 16, 3 Diod. 13, 96, 1–4; Plut. Dion 3, 3–4 || 12 Plut. Dion 4, 1 || 13 c. 16, 4 Plat. epist. 7, 326a–327a; Diog. Laert. 3, 18 || 20 c. 16, 5 Diog. Laert. 3, 19–20 || 28 c. 17, 1 Plat. epist. 7, 327a; Plut. Dion 4, 5–6 || 31 c. 17, 2–3 Diod. 15, 6, 1–4

1–2 *ὀλυμπιὰς – παρεληλυθυῖα* ras. M || 6 *παμπόλοις* M || 21 *ἀπέτυχεν* defendi ('nec leviter falsus est') *ἐπέτυχεν* prop. Reichard ('ne tantillum quidem monitis suis profecit') || 22 *πόλιδι* M, cf. etiam ex. gr. Diod. 15, 34, 3 codd. **FJK** *Πόλλις* Diog. Laert. ed. || 24 *κηρηναῖος* M | *ἀνίκερις* M *Ἀννίκερις* Diog. Laert. ed.

πρὸς μὲν φιλοσοφίαν ἀλλοτρίως ἔσχε, ποιητικῆς μέντοι ἐρασθεὶς καὶ
ποιήματα συντιθεὶς ἀνεπείσθη ὑπὸ τῶν κολάκων ἐπιτυχῆ αὐτὰ ποιεῖν,
καίπερ μοχθηρὰ ποιῶν, κἂν εἴ ποτε ἐμέμψατό τις ὀργῆς ἐπειρᾶτο· ᾤετο
γὰρ ἴσως Διονύσιος οὐκ ἀληθεύοντα τὸν μεμφόμενον, ἀλλὰ φθονοῦντα
μέμφεσθαι. καί ποτε Φιλόξενον ἀγαθὸν διθυραμβοποιὸν, ὅτι διακούσας 3
ἐμέμψατο, ἐς τὰς λατομίας πέμψας ἐνέβαλεν. εἶτα τῶν φίλων παραιτησα-
μένων, ἐξαγαγὼν καὶ παρὰ πότον παρειληφὼς ποιήματά τε αὖθις ἐπι-
δεικνύμενος, ἐπυνθάνετο ποῖ' ἄττα αὐτῷ φαίνοιτο· ὁ δὲ περὶ μὲν τῶν
ποιημάτων εἶπεν οὐδὲν, τοὺς δ' ὑπηρέτας καλέσας τοὺς τοῦ Διονυσίου,
'ἀπάγετέ με' ἔφη 'ἐς τὰς λατομίας'. τοῦτο μὲν οὖν εὐτραπελείᾳ τῇ παρὰ
τὸν πότον δοὺς ὁ Διονύσιος πράως πως ἤνεγκεν.

Ἐπεὶ δ' ὁ μὲν Διονύσιος οὗτος τετελευτήκει, καταλιπὼν υἱεῖς, ἕνα μὲν 18
τὸν πρεσβύτατον ἐκ τῆς Λοκρίδος ὁμώνυμον ἑαυτῷ Διονύσιον, δύο
δ' ἐκ τῆς ἀστῆς τῆς Δίωνος ἀδελφῆς, Ἱππαρῖνον καὶ Νυσαῖον, τὴν δὲ
τυραννίδα Διονύσιος ἅτε πρεσβύτατος παρειλήφει, νέος δὴ ὢν καὶ ἐν
τούτῳ τῆς ἡλικίας ἐν ᾧ μάλιστα ἄνθρωποι περὶ τὴν τοῦ βίου κρίσιν
ταλαντεύονται, Δίων μὲν προσφέρων αὐτῷ τοὺς ἐκ φιλοσοφίας λόγους
ἐπὶ φιλοσοφίαν εἷλκεν, ἕτεροι δ' ἐπὶ θάτερα ἀνθεῖλκον. πείθει δ' οὖν 2
Διονύσιον Δίων — τέως γὰρ αὐτὸς ἐκράτει — μεταπέμψασθαι Πλάτωνα
τῶν ἐκ φιλοσοφίας λόγων ἕνεκα, καὶ αὐτὸς δὲ Δίων Πλάτωνι ἐπιστέλλων
σφόδρα ἐδεῖτο ἐς Σικελίαν ἀφικέσθαι, ὡς μεγάλην δὴ ἐλπίδα οὖσαν Διο-
νύσιον τηλικοῦτον τύραννον φιλοσοφήσειν. οὕτω δὴ ἐς Σικελίαν ἀφικνεῖται 3
αὖθις Πλάτων. ἐλθὼν δὲ εὑρίσκει κρατοῦντας ἤδη τοὺς Δίωνι διαφόρους,
οἳ ἔπειθον Διονύσιον, ὡς ἐπιβουλεύων τῇ τυραννίδι Δίων προτρέποιτο
ἐκεῖνον ἐπὶ φιλοσοφίαν, ἵνα ὁ μὲν παιδείᾳ δὴ κεκηλημένος τῆς ἀρχῆς
ἀμελοῖ, ὁ δὲ λάθοι πάντα διαπεπραγμένος. καὶ μετ' οὐ πολὺ τῆς Πλάτωνος 4
ἀφίξεως Δίωνα Διονύσιος ἐκβάλλει, μικρὸν ἐς πλοῖον ἐμβιβάσας· Πλάτωνα
δὲ καὶ τοὺς Δίωνος φίλους παρεμυθεῖτο τὲ καὶ ἀνελάμβανε, πεφοβημένους
δὴ, φάσκων μὴ φυγὴν γεγονέναι Δίωνι τὴν ἐκβολὴν, ἀλλὰ μετάστασιν,
ὡς ἐπανήξοντι πάλιν, ὅταν αὐτῷ Διονυσίῳ ἀσφαλέστερον κατασταθῇ τὰ
περὶ τὴν ἀρχήν. Πλάτωνα δὲ καὶ διαφερόντως ἐτίμα, καὶ ἅμα μὲν ἐδεῖτο
μένειν, ἅμα δὲ καὶ προσεβιάζετο, φανερὸς γιγνόμενος οὐκ ἐπιτρέψων τὸν
ἔκπλουν.

Μένει δὴ Πλάτων παρὰ Διονυσίῳ εἴτ' ἄρα ἐβούλετο εἴτε καὶ μὴ, 19
πειρώμενος ἅμα πάντα τρόπον καὶ ἐς ἐπιθυμίαν τῆς φιλοσόφου ἐμβαλεῖν
ζωῆς. ἐπείρα μέντοι καὶ Διονύσιος Πλάτωνα ἀφιστάναι μὲν τῆς Δίωνος

12 c. 18, 1–2 Plat. epist. 7, 327b–328a; Diod. 16, 6, 2; Plut. Dion 11, 4 || 22 c. 18, 3–4 Plat. epist. 7, 329c–e. 333c || 34 c. 19 Plat. epist. 3, 316e–317d. 7, 330ab. 338a–340a

2 φιλίας, ἐς δὲ τὴν ἑαυτοῦ μᾶλλον τρέπειν. ἐπεὶ δ' οὐδετέρῳ ἡ πεῖρα
ἐπεραίνετο, πείθεται Διονύσιος ἀφεῖναι Πλάτωνα, συνομολογήσαντα
ἐπανήξειν ἐς Σικελίαν αὖθις, ἐπειδὰν ἐκεῖνος μεταπέμψηται αὐτὸν τὲ
ὁμοῦ καὶ Δίωνα. μεταπέμψεσθαι δὲ εἰρήνης γενομένης· ἐτύγχανε γὰρ
3 οὖν πόλεμος τότε γε ὤν. καὶ δὴ τῆς εἰρήνης γεγονυίας μεταπέμπεται
Διονύσιος Πλάτωνα, οὐκ ἔτι κατὰ τὰς ὁμολογίας μετὰ Δίωνος, ἀλλὰ
μόνον, δι' ἃ δὴ καὶ τὸ μὲν πρῶτον οὐχ ὑπήκουε καίπερ καὶ Δίωνος
4 κελεύοντός τε καὶ δεομένου. ἔπειτα τριήρη τὲ πέμψαντος ῥαστώνης ἕνεκα
τῆς πορείας καὶ ἐπ' αὐτῆς τῶν ἐν Σικελίᾳ φίλων μάλιστα αὐτῷ Πλάτωνι
γεγονότων καὶ γνωρίμων ἔστιν οὕς, καὶ γράφοντος ὡς 'ἐὰν μὲν ἀφίκῃ,
πάντ' ἔσται σοι τὰ περὶ Δίωνα ὡς ἂν ἐθελήσῃς αὐτὸς — ἐθελήσεις δὲ
οἶδ' ὅτι τὰ μέτρια, καὶ ἐγὼ συγχωρήσομαι — · εἰ δὲ μή, οὐδέν σοι τῶν
περὶ Δίωνα ἕξει πραγμάτων ὡς ἂν ἐθέλῃς', καὶ ἅμα τῶν ἐπὶ τῆς τριήρους
θρυλλούντων, ὡς Διονύσιος θαυμαστῶς φιλοσοφίας ἐν ἐπιθυμίᾳ πάλιν
εἴη — καὶ ἦν δέ τι καὶ τοιοῦτον —, ἔτι τὲ καὶ Ἀρχύτου τοῦ Ταραντίνου
ἀνδρὸς Πυθαγορείου δοκιμωτάτου τῶν τότε ἐπιστέλλοντός τε καὶ αὐτοῦ
καὶ δεομένου ὑπακοῦσαι τὲ καὶ ἀπελθεῖν, ὡς οὐδ' αὐτῷ Ἀρχύτᾳ οὐδὲ
πόλει τῇ αὐτοῦ λυσιτελῆσον τὸ μὴ ὑπακοῦσαι διὰ τὸ καὶ τὴν φιλίαν τὴν
αὐτοῦ πρὸς Διονύσιον δι' αὐτοῦ Πλάτωνος γεγονέναι, οὕτω δὴ πείθεταί
τε Πλάτων καὶ ἀφικνεῖται τὸ τρίτον ἐς Σικελίαν.
20 Ἀφικομένου δὲ οὐδὲν ἐγίγνετο τῶν μετρίων, ἀλλὰ καὶ πολὺ χείρω ἢ
πρότερον. τὰ μὲν γὰρ πρὸς φιλοσοφίαν Διονύσιος οὐκ ἔτι παρεῖχεν
ἑαυτὸν Πλάτωνι οὐδὲ τοῖς λόγοις τοῖς αὐτοῦ, πειθόμενος αὖθις τοῖς τῶν
διαβαλλόντων λόγοις καὶ κελευόντων φυλάττεσθαι Πλάτωνα ὡς ἐπιβου-
λεύοντα τῇ τυραννίδι μετὰ Δίωνος, μή πῃ ὑπὸ τῆς παιδείας παραποδισθείη.
2 ἐφυλάττετο οὖν, καίπερ οὐδὲ παντάπασιν ἀνέραστος ὢν τῶν ἐκ φιλοσο-
φίας λόγων οὐδέ γε ἀφυής, κρατούμενος δ' ὑπό τε τῆς τρυφῆς καὶ ἅμα
3 δέους τῆς τῆς τυραννίδος ἀποβολῆς. τὰ δὲ πρὸς Δίωνα, πρότερον ἐῶν
καρποῦσθαι τὰ αὐτοῦ χρήματα, τότε οὐκ ἔτ' εἴα τούς γε ἐπιτρόπους τοὺς
ἐκείνου πέμπειν τὶ Δίωνι, ἀλλὰ καὶ τελευτῶν ἐπώλει τὲ τὴν οὐσίαν τὴν
4 Δίωνος καὶ διένεμεν οἷς ἐβούλετο. Πλάτων μὲν οὖν διά τε ταῦτα καὶ
ἕτερ' ἄττα συμβάντα ἐκ Διονυσίου περί τε τοὺς Δίωνος φίλους καὶ
ἑαυτόν, ὀργιζόμενος Διονυσίῳ, ἅμα δ' οὐδὲ συγχωρούμενον αὐτῷ
ἐκπλεῖν, πέμπει παρ' Ἀρχύταν καὶ τοὺς ἐν Τάραντι φίλους, φράζων τὸ
πρᾶγμα ἐν οἷς ἦν. οἱ δὲ πρεσβείαν τινὰ παρὰ τῆς πόλεως πορισάμενοι,
πέμπουσι τριακόντορον καὶ Ταμίσκον αὐτῶν ἕνα, ὃς ἐλθὼν ἐδεῖτο

21 c. 20 Plat. epist. 3, 317c–318a. 7, 344d–348a. 350a–c; Plut. Dion 22, 1

13 ἕξει M || 36 ταμίσκον M ***λαμίσκον Plat. cod. A, σαλαμίσκον O, Λαμίσκον ed.

Διονυσίου ἀφεῖναι Πλάτωνα. ἀφεθεὶς δ' οὕτω Πλάτων καὶ ἀφικόμενος 5
ἐς Πελοπόννησον, καταλαβὼν τὲ Δίωνα Ὀλυμπιᾶσι θεωροῦντα, ἀπαγγέλλει
τὰ περί τε τὴν οὐσίαν τὴν αὐτοῦ καὶ τοὺς φίλους γεγενημένα ἐκ Διονυ-
σίου· ὁ δὲ θεοὺς ἐπιμαρτυράμενος ὥρμησεν ἐπὶ τὸν κατὰ Διονυσίου πόλε-
μον καὶ ἐλευθερίαν τῆς πατρίδος.

Ἦν δ' οὐδὲ γένει ὀθνεῖος Διονυσίῳ Δίων· τὼ γὰρ πατέρε αὐτοῖν 21
Ἱππαρῖνος τὲ καὶ Διονύσιος ἀνεψιὼ ἀλλήλοιν ἤστην. καὶ αὐτὼ ἄμφω ἡ
πόλις, μεγάλου πολέμου ἐπιφερομένου ἐκ Καρχηδονίων, ἄρχοντε αὐτο-
κράτορε εἵλοντο ἐπὶ τὸν πόλεμον, Διονύσιον μὲν ὡς νεώτερον στρατηγόν,
Ἱππαρῖνον δὲ σύμβουλον ἅτε πρεσβύτερον· ὣ ἐπειδὴ καλῶς τε καὶ εὖ
διεπολεμησάτην πρὸς Καρχηδονίους καὶ Συρρακούσας τὲ καὶ τὴν ἄλλην
Σικελίαν ἐκ τοῦ ἐπικρεμασθέντος κινδύνου ἐσωσάτην, ἠρχέτην Συρρα-
κουσῶν τε κοινῇ καὶ τῆς ἄλλης Σικελίας τῆς πολλῆς. τελευτῶν δὲ τὸν 2
βίον Ἱππαρῖνος ἐπίτροπον Διονύσιον καθίστησι κατὰ τὸ οἰκεῖον, διαθέμε-
νος καὶ τῶν θυγατέρων οὐσῶν τριῶν Ἀριστομάχην μὲν τὴν πρεσβυτάτην
αὐτὸν γῆμαι, τὼ δὲ λοιπὼ δύο τοῖν ἀδελφοῖν ἐκδοῦναι, Λεπτίνῃ τὲ δὴ καὶ
Θεαρίδῃ. καὶ ταῦτα μὲν Διονυσίῳ οὕτω καὶ ἐπέπρακτο. μόνος μέντοι 3
ἤδη λελειμμένος τήν τε ἀρχὴν ἐς τὸ τυραννικώτερον κατεστήσατο καὶ
βιαιότερον, καὶ τὰ πρὸς Καρχηδονίους πολὺ χεῖρον διῴκει, ὥστε καὶ
φόρον αὐτοῖς τάξασθαι φέρειν.

Ἀλλὰ Δίων Διονύσιον τὸν νεώτερον ἐπειρᾶτο μὲν διὰ Πλάτωνος εἴ 22
πως οἷός τε γένοιτο πεῖσαι ἐς βασιλείαν Λακωνικήν τινα ἐκ τῆς τυραννίδος
μεταβαλέσθαι, καὶ νόμοις δὴ ἐπιεικέσι τισὶ κατακοσμῆσαι τὴν πατρίδα,
ταῦτα που καὶ αὐτῷ Διονυσίῳ καὶ τῇ πατρίδι ἅμα κάλλιστά τε δὴ καὶ
ἄριστα νομίζων. ἐπεὶ δ' αὐτῷ ἥ τε πεῖρα οὐ προυχώρει καὶ ἅμα ἠδικεῖτο 2
τῇ τε φυγῇ καὶ τῆς οὐσίας τῇ διαφορήσει, ὥρμητο ἐπὶ τὸν πόλεμον καὶ
τὴν δι' ὅπλων τῆς τυραννίδος κατάλυσιν, καὶ τούς τε ἄλλους φίλους καὶ
δὴ καὶ Πλάτωνα παρεκάλει συλλαμβάνεσθαί οἱ τοῦ πολέμου. Πλάτων δὲ 3
τοὺς μὲν ἄλλους συμπαρακαλεῖν τῶν φίλων ἐκέλευεν, εἰ βούλοιντο, ἓ δὲ
οὐκ ἂν πολεμήσειν Διονυσίῳ· χάριν γὰρ αὐτῷ εἰδέναι μετά γε θεούς,
'ὅτι τοῖς διαβάλλουσιν', ἔφη, 'ἐπιβουλεύειν μετὰ σοῦ αὐτῷ τε καὶ τῇ
τυραννίδι καὶ κελεύουσιν ἀποκτιννύναι οὐκ ἐπείσθη, ἡγούμενος ἴσως καὶ
ἀληθεύειν τοὺς διαβάλλοντας. ὅ δ' ὅμως ἔδωκέ τι μοι αἰδοῦς.' αἰτίαι μὲν
δὴ αὗται τοῦ Δίωνα Διονυσίῳ ἐκπεπολεμῶσθαι ἐγένοντο.

Τὸ δὲ ἀπὸ τούτου ὡς θᾶττον ἔκ τε Πελοποννήσου καὶ Ἑλλάδος τῆς 23

6 c. 21, 1–2 schol. Plat. epist. 4, 320a || 17 c. 21, 3 Diod. 13, 113. 14, 7, 1–3. 15, 15–17 || 21 c. 22, 1 Plat. epist. 3, 315d. 319cd. 8, 356b; Plut. Dion 12, 2–3 || 25 c. 22, 2–3 Plat. epist. 7, 340a. 350b–d || 35 c. 23 Diod. 16, 9, 1–2. 4–6. 10, 2–4; Plut. Dion 25

ἄλλης ἐξενολογηκὼς Δίων καὶ ἀπὸ Ζακύνθου τοῖν δυοῖν στρογγύλοιν
πλοίοιν ἀναχθεὶς, κατέπλευσε μὲν τῆς Σικελίας ἐς Μινώαν πόλιν, ἣν
ἔκτισε μὲν Μίνως ἐκεῖνος ὁ Κρητῶν βασιλεὺς, ὅτε ἐς Σικελίαν κατὰ
Δαιδάλου ζήτησιν ἀφιγμένος Κωκάλῳ τῷ Σικανῶν βασιλεῖ ἐπεξενώθη,
τότε δὲ Καρχηδονίοις ὑπήκουε, καίπερ τῆς Ἀκραγαντίνης πρότερον οὖσα
2 μοίρας. Δίωνι δὲ φίλος ὢν ὁ ταύτης τῆς πόλεως ἐπιστάτης, Σύναλος
τοὔνομα, ἐδέξατό τε προθύμως καὶ δεηθέντι πανοπλίας πεντακισχιλίας,
ἃς ἐπὶ τοῖν πλοίοιν ἦγε, πρὸς τὰς Συρρακούσας ἁμάξαις συμπαρακομίσαι
οἱ ὑπήκουσεν. αὐτὸς δὲ Δίων τοὺς μισθοφόρους ἀνειληφὼς ὄντας χιλίων
3 οὐ πλείους, ᾔει μὲν ἐπὶ τὰς Συρρακούσας. ἐν δὲ τῇ παρόδῳ Ἀκραγαντίνους
καὶ Γελῴους καὶ Καμαριναίους, ἔτι δὲ καὶ τῶν τινας Σικανῶν καὶ
Σικελῶν πείσας συνελευθεροῦν Συρρακουσίους, ταχὺ πάμπολύ τι πλῆθος
4 ἀνδρῶν ἐνόπλων ἦγεν ἐπὶ τὴν τοῦ τυράννου κατάλυσιν. ὡς δ' ἐπὶ τοὺς
ὅρους ἀφῖκτο τῆς Συρρακουσίας, ἀπήντα μὲν αὐτῷ πλῆθος ἀνόπλων
ἀνδρῶν ἔκ τε τῆς χώρας καὶ τῆς πόλεως, ὧν τὰ ὅπλα Διονύσιος παρῄρητο
ἀπιστῶν· ὁ δὲ ταῖς πανοπλίαις αἷς ἐπεφέρετο ὥπλιζε τούς γε ἐπιτηδειοτά-
τους αὐτῶν καὶ παρῆλθεν ἐς τὴν πόλιν οὐδενὸς ἐναντιουμένου.
24 Διονύσιος μὲν γὰρ ἔτυχε τότε οὐ παρὼν τῇ πόλει, ἀλλὰ περὶ τὸν
Ἰόνιον διατρίβων μετὰ τοῦ πλείονος μέρους τῆς δυνάμεως τά τε ἐκεῖ
πράγματα διοικῶν· οἱ δ' ἐπὶ τῆς ἄκρας ἀπολελειμμένοι φύλακες, οὐκ
οἰόμενοι ἀξιόμαχοι εἶναι, Δίωνι καὶ Συρρακουσίοις ἐς μάχην οὐκ ἀντεπ-
2 εξῄεσαν. Διονύσιος δὲ τὰ περὶ Δίωνος πεπυσμένος κατέπλευσέ τε ἐπὶ
Συρρακούσας ἡμέραις ἑπτὰ ὕστερος τῆς Δίωνος καθόδου καὶ ἐς τὴν
ἄκραν παρελθὼν ἡμέρας τέ τινας οὐ πολλὰς ἐπισχὼν, διδοὺς ἅμα καὶ
ἐλπίδας τοῦ συμβήσεσθαι, ἐπαφῆκεν ἄφνω τοῖς Συρρακουσίοις τοὺς
μισθοφόρους. οἳ σὺν βοῇ πολλῇ προσπεσόντες τοῖς τὸ διατείχισμα
φυλάττουσιν, ὃ Συρρακούσιοι ἐκ θαλάττης ἐς θάλατταν ποιούμενοι τήν γε
ἄκραν ἀπετείχιζον, ἐκράτησάν τε καὶ εἴσω τοῦ τείχους εἰσδύντες συνέβαλ-
λον τοῖς Συρρακουσίοις ἀπηντηκόσιν ἤδη πρὸς αὐτῷ τῷ τείχει, Δίωνος
3 αὐτῶν ἡγουμένου. γενομένης δὲ μάχης κρατερᾶς ἐκράτησαν Συρρακούσιοί
τε καὶ Δίων οὐκ ἄνευ γε τραύματος. οἱ δὲ Διονυσίου ἡττημένοι τὲ καὶ
συχνοὺς τῶν σφετέρων ἀποβεβληκότες, ἐς τὴν ἀκρόπολιν αὖθις συνεστάλη-
σαν, καὶ Δίων τὸ ἀποτείχισμα ἐπέραινεν, ἕως ἐς τὸ ἀσφαλὲς αὐτὸ κατ-
εσκευάκει.

18 c. 24 Diod. 16, 10, 5. 11, 3–13, 5; Plut. Dion 30

2 μινώαν M cum Diod. cod. X Μίνῳαν Diod. Plut. ed. || 5 ὑπήκουε M unde et Diod. ed. -σεν Diod. codd. || 6 σύναλος M cum Plutarcho Πάραλος Diod. || 15 παρῄρητο M unde et Diod. ed. -ῃρεῖτο Diod. codd. || 23 ἡμέραις ἑπτὰ ras. M || 25–26 τοὺς – προσπεσόντες ras. M

Μετὰ δὲ ταῦτα κατέπλευσε μὲν ἐς Συρρακούσας καὶ Ἡρακλείδης, 25
φυγὰς καὶ οὗτος ὑπὸ Διονυσίου γεγονώς, ὑπὸ δὲ Δίωνος ναύαρχος ἐν
Πελοποννήσῳ τῶν ἐκεῖ παρασκευασθεισῶν νεῶν μακρῶν καταλελειμ-
μένος, διὰ δέ τινας χειμῶνας τῆς Δίωνός τε καθόδου καὶ Συρρακουσίων
τῆς ἐλευθερώσεως ὑστερηκώς. ἧκε δ' ἄγων ναῦς μὲν μακρὰς εἴκοσι,
στρατιώτας δὲ περὶ πεντακοσίους καὶ χιλίους, καὶ αὐτόν, ὄντα οὐκ
ἄσημον ἄνδρα οὐδ' ἀδόκιμον δοκοῦντα, Συρρακούσιοι ναύαρχόν τε
εἵλοντο τῶν τε παρὰ σφίσι νεῶν καὶ ὧν αὐτὸς ἄγων ἧκε, καὶ τεταγμένος
μετὰ Δίωνος, κοινῇ ἤδη πρὸς Διονύσιον διεπολέμουν. μετ' οὐ πολὺ δὲ καὶ 2
Φίλιστος, ἀνὴρ πιστότατός τε ἀεὶ καὶ χρησιμώτατος τοῖς τυράννοις
γεγονώς, ὑπὸ Διονυσίου στρατηγὸς ἀποδειχθείς, διεναυμάχησε πρὸς
Συρρακουσίους, παραπλησίας ἔχοντας καὶ αὐτοὺς ναῦς, καὶ γενομένης
κρατερᾶς ναυμαχίας Φίλιστος, καίπερ λαμπρῶς ἠγωνισμένος, ἡττήθη
παρὰ τοσοῦτον, ὥστε καὶ κινδυνεύων ζωὸς ὑπὸ Συρρακουσίων ἁλίσκεσθαι
ἑαυτὸν ἀποσφάξαι. μετὰ δὲ ταύτην τὴν ναυμαχίαν Διονύσιος, προ- 3
ηττημένος μὲν κατὰ τὴν πόλιν, ἡττημένος δὲ καὶ τότε τῇ ναυμαχίᾳ,
ἀποβεβληκὼς δὲ καὶ τῶν φίλων τὸν δοκιμώτατον, ἐπειράθη μὲν συμβῆναι
τὶ πρὸς Συρρακουσίους, ὥστε, παραδοὺς τὴν ἀκρόπολιν αὐτοῖς, αὐτὸς
μετὰ τῶν μισθοφόρων καὶ χρημάτων ἐς Ἰταλίαν ἐκπλεῦσαι. οὐ τυχὼν 4
δ' οὐδὲ τούτου, καίπερ καὶ Δίωνος Συρρακουσίοις τὰ διδόμενα δέχεσθαι
συμβουλεύοντος — ἀλλ' ἤλπιζόν γε οὐ πολλοῦ χρόνου ἐκπολιορκήσειν διὰ
τὸ μὴ δὲ σῖτον λέγεσθαι ἐν τῇ ἄκρᾳ εἶναι ἱκανὸν —, οὕτω σκοπήσας ἐκ
τῶν παρόντων τὸ κράτιστον αὐτῷ, ἐν μὲν τῇ ἄκρᾳ κατέλιπε τοὺς ἱκανοὺς
φρουρούς, αὐτὸς δ' ἀνειληφὼς τά τε τιμιώτατα καὶ τῶν μισθοφόρων τοὺς
πολλοὺς ἔλαθεν ἐκπλεύσας ἐς τὴν Ἰταλίαν.

Μετὰ δὲ ταῦτα διενεχθέντων τῶν Συρρακουσίων πρὸς ἀλλήλους καὶ 26
τῶν μὲν Ἡρακλείδῃ δεῖν φασκόντων τὴν τῶν ὅλων ἡγεμονίαν ἐπιτρέπειν,
ὡς τοῦτον μὲν οὔποτ' ἂν τυραννεύσοντα, Δίωνα δ' ἄν, εἰ Διονυσίου ἐς
τέλος περιγένοιτο, τῶν δὲ καὶ Δίωνα μᾶλλον αἱρουμένων, ἔτι δ' οὐδὲ τοῖς
ξένοις τοῖς ἐκ Πελοποννήσου τὲ καὶ Ἑλλάδος τῆς ἄλλης τοῖς σφᾶς
ἠλευθερωκόσιν ἀποδιδόντων τοὺς μισθούς, καὶ διὰ ταῦτα καὶ αὐτῶν
συστραφέντων τὲ καὶ Δίωνα ἀξιούντων ἀναδέξασθαί τε σφῶν τὴν
ἡγεμονίαν καὶ παρὰ Συρρακουσίων ὡς κοινῶν ἐχθρῶν λαμβάνειν τιμωρίαν
πειρᾶσθαι, Δίων τὸ μὲν πρῶτον ἀντειπών, ἔπειτα οὐ δίκαιον κρίνας
προδοῦναι τοὺς ἑταίρους τὲ γεγονότας καὶ πρὸς τὴν κάθοδον ἑαυτῷ
ὑπηρετηκότας, ἀνεδέξατό τε τὴν ἡγεμονίαν τῶν ξένων, ὄντων περὶ

1 c. 25, 1 Diod. 16, 6, 4–5. 16, 2; Plut. Dion 32, 3. 33, 1 || 9 c. 25, 2–4 Diod. 16, 16, 3–17, 2 || 26 c. 26 Diod. 16, 17, 3–5

10 χρησιμότατος M

2 τρισχιλίους, καὶ ἐς Λεοντίνους σὺν αὐτοῖς ἀπεχώρησεν. ἀποχωρῶν δὲ
Δίων καὶ τοῖς Συρρακουσίοις καθ' ὁδὸν ἐπιθεμένοις μαχεσάμενος,
ἐκράτησε μὲν παρὰ πολύ, περὶ δὲ νεκρῶν ἀναιρέσεως πέμψασιν οὐ τοὺς
νεκροὺς μόνον ἀπέδωκεν, ἀλλὰ καὶ τοὺς ζωοὺς ἑαλωκότας τῶν Συρρα-
κουσίων ἀπέλυσεν ἄνευ λύτρων.
27 Ἐπεὶ δὲ Διονύσιος ἐκ Λοκρίδος τῆς Ἰταλίας — ὅθεν δὴ αὐτῷ καὶ ἡ
μήτηρ Δωρὶς ἦν — σῖτον τὲ καὶ τἆλλα ὁπόσα πρὸς φρουρὰν ἐπιτήδεια
παρασκευασάμενος ἔπεμπε τοῖς ἐν τῇ ἄκρᾳ ἐν φορτηγοῖς ναυσί, συμπέμ-
πων καὶ τριήρεις τὰς ἀσφαλῶς τὸν φόρτον συμπαρακομιούσας καὶ
ἐπ' αὐταῖς Νύψιον τὸν Νεαπολίτην ἡγεμόνα, ἄνδρα δόκιμον, αἱ μὲν
φορτηγοὶ νῆες κατῆραν ἐς τὴν ἄκραν, ὀλίγου δεῆσαν Συρρακουσίοις
2 ὁμολογῆσαι ὑπὸ σιτοδείας, καὶ τὸν φόρτον ἐξεκόμιζον. αἱ δὲ τριήρεις
ἠναγκάσθησαν διαναυμαχῆσαι πρὸς Συρρακουσίους, καὶ γενομένης τῆς
ναυμαχίας ἐκράτησαν οἱ Συρρακούσιοι. κρατήσαντες δὲ καὶ τοῖς θεοῖς
θύσαντες ἐπινίκια, ἐπ' εὐωχίας τὲ ἐτράποντο καὶ πότους καὶ αὐλήματα
3 δι' ἡμέρας ἄχρι δὴ καὶ βαθείας ἑσπέρας. ὃ δὴ συνιδὼν Νύψιος καὶ τῷ
καιρῷ ἄριστα χρησάμενος, κλίμακας προσθεὶς τῷ διατειχίσματι ἐκράτησέ
τε καθεύδουσι τοῖς φυλάττουσι περιτυχὼν ὑπὸ τῆς μέθης καὶ τοῦτο μὲν
εὐθὺς κατέσπα, τοὺς δὲ στρατιώτας τῇ πόλει ἐφῆκεν, οἳ καὶ ἐσπεσόντες ἐς
τὴν πόλιν ἔκτεινον μὲν πάντα ᾧ προστύχοιεν, ἦγον δὲ καὶ ἔφερον γυναῖκας
τὲ καὶ χρήματα ἐς τὴν ἀκρόπολιν.
28 Συρρακούσιοι δὲ οὔτε νύκτωρ ἔτι, οὔτ' ἐπειδὴ ἡμέρα ἐγένετο, εἶχον
ὅ τι χρήσονται τῷ πράγματι οὐδ' ἀμύνειν αὐτοὶ αὑτοῖς. ἀλλ' ἐπειδή τις
ἐμνήσθη Δίωνος δεῖσθαι τὸ πρᾶγμα, ὡς ταύτην καὶ μόνην οὖσαν σωτηρίαν,
ἅπαντές τε ἐπῄνουν εὐθὺς καὶ πέμπονται τῶν τε ἀρχόντων καὶ ἱππέων
τινὲς ὡς Δίωνα πρεσβεύσοντες, οἳ καὶ ἀφικόμενοι ἐς Λεοντίνους δείλης
ἱκέτευον Δίωνα Συρρακούσας μὴ περιιδεῖν ἀπολλυμένας, ἀλλ' ὡς ἱκανὴν
τὴν δίκην, ὑπὲρ ὧν ἐς αὐτὸν Συρρακούσιοι ἐξήμαρτον, δεδωκόσιν ὑπὸ
2 τῶν πολεμίων μηκέτι μνησικακεῖν. Δίων δ' ὑπακούσας τὲ αὐτὸς καὶ
τούς γε ξένους παρακαλέσας, συσκευασάμενος εὐθὺς ἐχώρει διὰ τῆς
νυκτὸς καὶ ἀφικνεῖται ἐπὶ Συρρακούσας ἐς ἕω. ἀφικόμενος δὲ καταλαμ-
βάνει τοὺς τοῦ τυράννου μισθοφόρους οὐ φονεύοντας μόνον καὶ ἁρπάζοντας
3 καὶ ληιζομένους, ἀλλ' ἤδη καὶ πῦρ ταῖς οἰκίαις ἐνιέντας. εὐθὺς οὖν τάξας
τούς θ' ἑαυτοῦ καὶ Συρρακουσίους καὶ συμπεσὼν τοῖς τοῦ τυράννου,
τεταγμένος ἀτάκτοις, κτείνας μὲν συχνούς, τοὺς δὲ τρεψάμενος, ἐς τὴν
ἀκρόπολιν αὖθις συνέστειλε καὶ τὸ διατείχισμα ᾗ κατέσπαστο αὖθις
4 ἀνίστη. ἐπὶ δὲ τούτῳ τῷ ἔργῳ, λαμπρότητι οὐδὲν τοῦ προτέρου λειπο-

6 c. 27 supra c. 16, 3; Diod. 16, 18, 1–2. 4. 19; Plut. Dion 41 || 22 c. 28 Diod. 16, 20; Plut. Dion 42–43. 44, 5–6. 8. 45, 6. 46, 5–6. 48, 2–4. 6

μένῳ, Συρρακούσιοι μὲν Δίωνα μόνον ἄρχοντα αὐτοκράτορα καὶ κατὰ
γῆν καὶ κατὰ θάλατταν αἱροῦνται· ὁ δὲ καὶ Ἡρακλείδῃ τῆς κατὰ θάλατταν
μεταδίδωσιν ἀρχῆς.
Ἀλλ' Ἡρακλείδης γε ἀεί τι μοχθηρὸν πράττων οὐκ ἐπαύετο, ἀεὶ μὲν 29
δημοκοπῶν καὶ τὴν ἀρχὴν τοῦτον τὸν τρόπον πειρώμενος ἐς ἑαυτὸν πᾶσαν
περισπᾶν, τοτὲ δὲ καὶ ἐκ τοῦ φανεροῦ ἐπιχειρῶν Δίωνα ἀποκλείειν τῆς
εἰς τὴν πόλιν εἰσόδου, ἐπανιόντα δὴ ἀπὸ στρατοπέδου· ἐλέγετο δὲ καὶ
πρὸς Διονύσιον κρύφα συντίθεσθαι διὰ Φάρακος τοῦ Σπαρτιάτου, ὃς
Διονυσίῳ ἐστρατήγει. εἶτ' αὖ Δίωνι σπεισάμενος καὶ ὅρκους δοὺς τοὺς 2
μεγίστους διὰ Γαισύλου ἑτέρου Σπαρτιάτου, ἐπιεικοῦς ἀνδρός, οὐδ' οὕτως
ἐπαύσατο δημοκοπῶν καὶ ἀεί τι κατὰ Δίωνος κινῶν ὑπὸ βασκανίας, οὔτε
ναυαρχῶν ἔτι, οὔτ' ἐπειδὴ Συρρακούσιοι τὸ ναυτικὸν, οὐδὲν αὐτοῦ δεῖσθαι
ἡγούμενοι, κατέλυσαν, ἰδιωτεύων, ἕως ὑπὸ τῶν Δίωνος φίλων, ἐπειδὴ καὶ
ἡ ἀκρόπολις ὑποχείριος Δίωνι ἐγεγόνει, ἀπεσφάγη, βουλομένων μὲν καὶ
πάλαι αὐτὸ δρᾶν, ὑπὸ δὲ Δίωνος τέως μὲν κωλυομένων, τότε δὲ καὶ
αὐτοῦ ἐνδόντος, ἐπειδὴ τῇ πολιτείᾳ, ἣν καθιστάναι ἤδη διενοεῖτο, ἑώρα
τὸν ἄνθρωπον διὰ μοχθηρίαν μέγα ἐναντίωμα ἐσόμενον. οὕτω δὲ τετε- 3
λευτηκότι Ἡρακλείδῃ Δίων ὅμως τάς τε ταφὰς λαμπρὰς παρεσκεύασε,
καὶ αὐτὸς τὸν νεκρὸν μετὰ τοῦ στρατεύματος ἅμα ἑπομένου προὔπεμψεν
ἄχρι πρὸς τὸν τάφον. ἀλλὰ τοῦτο μὲν ὕστερον.
Ἀπολλωκράτης δ' ὁ Διονυσίου, ᾧ ἡ ἀκρόπολις ἐπετέτραπτο, ἐπειδὴ 30
πολιορκουμένῳ μὲν αὐτῷ ὑπὸ Συρρακουσίων, βοηθοῦντος δ' οὐδενὸς,
ὅ τε σῖτος ἐπέλειπεν ἤδη καὶ τὸ μισθοφορικὸν δύσχρηστον αὐτῷ ἐγίγνετο,
ὁμολογήσας Δίωνι καὶ τὴν μὲν ἀκρόπολιν ἐκείνῳ παραδοὺς μετὰ τῶν τε
ὅπλων καὶ κατασκευῆς τῆς ἄλλης, αὐτὸς δὲ, τριήρεις μὲν πέντε πληρωσά-
μενος, ἀνειληφὼς δὲ τήν τε μητέρα καὶ ἀδελφὰς, ἀνέπλευσε πρὸς τὸν
πατέρα, τὸ ἀσφαλὲς αὐτῷ Δίωνος παρέχοντος. Δίων δὲ τὴν μὲν ἀκρόπολιν 2
ἐπειδὴ παρέλαβε τοῖς Συρρακουσίοις ἀπέδωκεν, αὐτὸς δὲ, τήν τε ἀδελφὴν
Ἀριστομάχην καὶ τὸν υἱὸν τὸν ἑαυτοῦ Ἱππαρῖνον παραλαβὼν καὶ Ἀρετὴν
τὴν γυναῖκα, τὴν οἰκίαν ᾤκει. ταύτην τὴν Ἀρετὴν Διονυσίου τὲ τοῦ 3
πρεσβυτέρου καὶ Ἀριστομάχης ταύτης θυγατέρα οὖσαν ὁ μὲν πατὴρ
Δίωνι ἐξέδοτο, ὑπὸ δὲ τοῦ νεωτέρου Διονυσίου, ἐπειδὴ αὐτῷ τὰ πρὸς
Δίωνα ἐκπεπολέμωτο, Τιμοκράτει ἑνὶ τῶν φίλων πρὸς ἀνάγκην συνῳκι-
σμένην, Δίων συγγνοὺς αὐτῇ ἐπὶ τῇ ἀνάγκῃ ἐς τὴν οἰκίαν αὖθις ἀνέλαβεν.
ὢν δ' ἐν τούτοις Δίων διενοεῖτο μὲν ἤδη καὶ τὴν πολιτείαν καθιστάναι, 4

4 c. 29 Plut. Dion 48, 7. 49, 7. 50, 1. 53 || 20 cf. infra c. 30, 4 || 21 c. 30, 1 Plut. Dion 37, 4. 50, 2 || 27 c. 30, 2 Plut. Dion 5, 1. 5 || 30 c. 30, 3 Plut. Dion 6, 1. 21, 6 || 35 c. 30, 4 Plut. Dion 53, 2–5

21 ἀπολλωκράτης M Ἀπολλοκράτης Plut. ed.

καὶ ἐς Κόρινθον ἔπεμπε, καλῶν ἐκεῖθεν τοὺς συλληψομένους πρὸς τὴν
νομοθεσίαν, ἅμα μὲν εἰδὼς τὴν πόλιν οὐκ ἀκράτῳ δημοκρατίᾳ χρωμένην,
ἀλλ' ἀριστοκρατίᾳ μεμιγμένῃ, ἅμα δὲ καὶ τιμῶν τὴν μητρόπολιν· ἔκτειναν
δὲ καὶ Ἡρακλείδην οἱ Δίωνος φίλοι δημοκοπίας οὐ παυόμενον, οὐδὲν
μείονος τυραννίδος κακοῦ, ἀλλὰ καὶ πάνυ δῆλον ὄντα ἀγαθῇ πολιτείᾳ
ἐναντιωσόμενον.
31 *Ἀλλ' οὐκ εἰάθη καὶ τέλος τοῖς διανοηθεῖσιν ἐπιθεῖναι Δίων, ἀλλ' ἐν*
τούτοις ὢν ὑπὸ Καλλίππου τοῦ Ἀθηναίου, ἑνὸς τῶν ἑταίρων, μιαρωτάτου
2 *περὶ αὐτὸν γεγονότος, κτείνεται. οὗτος Κάλλιππος Δίωνι φεύγοντί τε*
καὶ ἀλωμένῳ κατὰ τὴν Ἑλλάδα ἑταῖρος γεγονὼς ἅμα ἀδελφῷ ἑαυτοῦ, οὐκ
ἐκ παιδείας, ἀλλ' ἐκ τῆς εἰωθυίας τοῖς πολλοῖς ἑταιρείας, συνῆν παρά τε
τὴν κάθοδον καὶ τὰς ἄλλας ἁπάσας πράξεις. ἔπειτα νεωτέρων ἐπιθυμήσας
πραγμάτων, ἐπειδὴ καὶ Ἡρακλείδης ἐκποδὼν ἦν, ἀνὴρ μέγα ἐν Συρρακού-
σαις ἰσχύων, ἤρξατο μὲν διαφθείρειν τῶν ξένων τινὰς παρασκευάζων κατὰ
3 *Δίωνος καὶ ἐς ἑαυτὸν τὴν ἡγεμονίαν αὐτῶν περισπῶν. καὶ τοῦτο ποιῶν οὐ*
παντάπασιν ἔλαθεν, ἀλλὰ Δίων μὲν τῷ Ἡρακλείδου φόνῳ καὶ τὸν Καλ-
λίππου ὤκνει προσθεῖναι· ὁ δὲ ταῖς γυναιξὶ προσελθὼν, ἐπειδὴ ἔγνω οὐ
παντάπασι λανθάνων, ἔξαρνός τε ἦν μηδέν τι νεωτερίζειν καὶ ἅμα ὅρκων
ὤμοσε τὸν μέγιστον νομιζόμενον, μηδὲν νεώτερον μήτε ποιεῖν μήτε
4 *ποιήσειν περὶ Δίωνα. οὕτω δ' ὀμωμοκὼς, ἐν τῆς αὐτῆς θεοῦ τῇ ἑορτῇ,*
ἧς ἐν τῷ ἱερῷ ὀμωμόκει, περιστήσας Δίωνι τῶν μισθοφόρων τοὺς
διεφθαρμένους, αὐτῷ δ' ἐπαφεὶς τοὺς μιαρωτάτους αὐτῶν ὄντας Ζακυν-
θίους, δι' ἐκείνων κτείνει, αὐτός τε καὶ ὁ ἀδελφὸς τοῖς φονεῦσι παρεστῶτε
ἐπικούρω, ὅπλα ἔχοντε ἐν ταῖς χερσίν.
32 *Ἐπεὶ δὲ δὴ Δίωνα ἀπεκτόνει, Κάλλιππος χρόνον μέν τινα οὐ πολὺν*
διῴκει τὰ κατὰ Συρρακούσας. ἔπειτα Κατάνην ὡρμημένος λαβεῖν,
Συρρακούσας ὑπὸ τῶν Δίωνος φίλων ἀπέβαλε, προστησαμένων Ἱππαρῖνον
2 *τὲ τὸν Διονυσίου καὶ τὸν ἕτερον Ἱππαρῖνον τὸν τοῦ Δίωνος. ἀποβεβληκὼς*
δὲ Συρρακούσας Κάλλιππος ἐπέθετο Μεσσηνίοις, ὅπου τῶν στρατιωτῶν
οὐκ ὀλίγους ἀπολέσας, ἐν οἷς ἦσαν καὶ οἱ Δίωνα ἀπεκτονότες, οὐδὲ μιᾶς
τε πόλεως αὐτὸν δεχομένης τῶν ἐν Σικελίᾳ, ἀλλὰ πάντων ὡς μιαρὸν
3 *προβαλλομένων, Ῥήγιον κατέσχεν. ἐκεῖ δ' οὐ πολὺν χρόνον κακῶς*
διαγεγονὼς καὶ λυπρῶς τοὺς μισθοφόρους διατρέφων, ὑπὸ Λεπτίνου καὶ
Πολυσπέρχοντος ἀνῃρέθη, τῷ αὐτῷ ᾧ καὶ Δίων ἀνῄρητο ξιφιδίῳ κατὰ

4 supra c. 29, 1–2 || 7 c. 31, 1 Plut. Dion 54–56 || 9 c. 31, 2 Plat. epist. 7, 333e; Plut. Dion 54, 1–3 || 15 c. 31, 3–4 Plut. Dion 56, 2–4. 6. 57, 2. 4 || 23 Plat. epist. 7, 334a || 25 c. 32, 1 Diod. 16, 31, 7. 36, 5; Plut. Dion 58, 3–4 || 28 c. 32, 2–3 Plut. Dion 58, 5–7

31 *τῶν – μιαρὸν* ras. M

τύχην χρησαμένων, γνωσθέντι τῇ τε βραχυτῆτι κατὰ τὰ Λακωνικὰ καὶ
τῷ γλαφυρῷ τῆς ἐργασίας, ὡς κἀκ τούτου εἰκότως ἂν δόξαι Δίωνι δίκην
τίνοντα οὕτω ἀνῃρῆσθαι. τοιαῦτα μὲν δὴ τὰ κατὰ Κάλλιππον.

Τὴν δὲ Συρρακουσίων πόλιν, ἄλλον ἐξ ἄλλου μεταβάλλουσαν τύραννον, 33
τελευτῶν Διονύσιος δεκάτῳ ἔτει μετὰ τὴν Δίωνος κάθοδον αὖθις κατέσχε,
παραδόξως μὲν ὑπὸ μικρᾶς δυνάμεως μεγάλαις πεφραγμένην δυνάμεσι
τυραννίδα ἀποβεβληκώς, παραδόξως δὲ καὶ ἀνειληφώς, ἐκ φυγάδος τὲ
καὶ ταπεινοῦ καὶ πολλὰ δεινὰ πεπονθότος. ὅς θυγατέρων τὲ ἐπεῖδε 2
καταπορνεύσεις ἐν ταύτῃ τῇ μεταβολῇ καὶ τὴν γυναῖκα, τὴν δ' αὐτὴν καὶ
ἀδελφήν, ὑπὸ τῶν ἐχθρῶν ζῶσαν μὲν ταῖς ἀσελγεστάταις ἡδοναῖς ἐς τὸ
σῶμα παρανομηθεῖσαν, ἔπειτα καὶ μετὰ τῶν τέκνων καταποντωθεῖσαν.
ἀλλ' οὕτω πονήρως πεπραγώς, ξένους τινὰς ὅμως συλλέξας τὴν τυραννίδα 3
αὖθις ἀνέλαβε, Νυσαῖον τὸν τότε κρατοῦντα τῶν Συρρακουσῶν ἐκβε-
βληκώς. Συρρακουσίων δ' οἱ μὲν ἐν τῇ πόλει μένοντες ἐδούλευον χαλεπω-
τέρῳ ἢ πρότερον τυράννῳ, διὰ τὰς συμφορὰς πρὸς πάντας ἀπηγριωμένῳ
τὴν ψυχήν· οἱ δὲ φεύγοντες πρὸς Ἱκέτην κρατοῦντα Λεοντίνων ἐτρέποντο,
μοχθηρὸν μὲν ἄνδρα καὶ τῶν ἀποδεδειγμένων τυράννων οὐδενὸς βελτίω,
ἄλλην δ' οὐκ ἔχοντες τέως ἀποστροφήν. οὗτος Ἱκέτης, Συρρακούσιος μὲν 4
ὢν τὸ γένος, τῶν δὲ Διωνείων φίλων γεγονὼς καὶ ἔπειτα κάκιστος περὶ
τὸ γένος γενόμενος τὸ Δίωνος, ἐπολέμει καὶ τότε Διονυσίῳ τὴν τυραννίδα
ἄρτι ἀνειληφότι, οὐχ ὑπὲρ πολιτῶν τῆς ἐλευθερίας, ἀλλ' ἑαυτῷ τὴν
τυραννίδα διαπραττόμενος, ὅπως Διονύσιον ἐκβαλὼν αὐτὸς τυραννήσειεν,
ὡς ὕστερον διεφάνη.

Ἐπεὶ μέντοι ἐδόκει τοῖς περὶ αὐτὸν Συρρακουσίοις ἐς Κόρινθον πρεσβείαν 34
πέμπειν κἀκεῖθεν βοήθειάν τινα εὑρίσκεσθαι ἐπὶ Διονύσιον πειρᾶσθαι,
τέως μὲν συνέπραττε ταῦτα καὶ αὐτὸς ἐν τῷ φανερῷ καὶ τὴν πρεσβείαν
συνέπεμπε, κρύφα δὲ Καρχηδονίους μετεπέμπετο, ὅπως δι' ἐκείνων
Διονύσιον ἐκβαλὼν τυραννήσειεν αὐτὸς, τὴν συμπάσης Σικελίας ἡγεμονίαν
αὐτοῖς προτείνων· οὐ γὰρ ἄδηλον ἦν, ἃ ἐλπίσαντες Καρχηδόνιοι ἐκείνῳ
ἔμελλον συλλήψεσθαι. ἐπεὶ δ' οὖν ἥ τε πρεσβεία ἀφίκετο ἐς Κόρινθον καὶ 2
Κορινθίοις ἡ βοήθεια ἐψήφιστο καὶ ἐν παρασκευαῖς ἤδη ἦν, ἐπιστέλλει
Ἱκέτης Κορινθίοις μηκέτι δεῖν αὐτοὺς πολυπραγμονεῖν, ὡς αὐτοῦ μετὰ
Καρχηδονίων τὸν τύραννον καθελοῦντος, οὓς αὐτὸς ἐκείνων βραδυνόντων
μεταπέμψαιτο, φυλάττεσθαι δὲ καὶ Καρχηδονίους τήν τε θάλατταν
φρουροῦντας καὶ οὐκ ἐάσοντας στόλον οὐδένα ἐς Σικελίαν καταπλεύσειν.

4 c. 33, 1 Plut. Tim. 1, 2. 4 || 8 c. 33, 2 Plut. Tim. 13, 10 || 12 c. 33, 3 Plut. Tim. 1, 4–6 || 18 Plut. Dion 58, 8–9. Tim. 33, 4 || 20 Plut. Tim. 2, 3. 7, 4 || 24 c. 34 Plut. Tim. 2, 3–4. 7, 3–6. 17, 1–2

25 ἐπεὶ M

ἤδη γὰρ καὶ ἡ βοήθεια ἀφῖκτο ἐκ Καρχηδόνος τῷ Ἱκέτῃ, Μάγων στρατηγὸς
ἐπὶ νεῶν οὐκ ὀλίγων.
35 Κορίνθιοι δὲ ἐπὶ τούτοις καὶ μᾶλλον ὀργισθέντες ἔπεμπον τὴν βοήθειαν,
ἤδη καὶ ἐπισπεύδοντες Τιμολέοντα τὸν Τιμοδήμου στρατηγὸν μετὰ
2 στρατιωτῶν χιλίων ἐπὶ τριηρῶν δέκα. οὗτος Τιμολέων ἔτυχε μὲν οὐκ
ὀλίγοις ἔτεσι πρότερον ἀδελφὸν πρεσβύτερον Τιμοφάνη τυραννεύοντα τῆς
πόλεως ἀπεκτονώς, ὃν προτοῦ, ὑπὲρ τῆς πόλεως μαχόμενον πρὸς
Ἀργείους καὶ κινδυνεύοντα ἐσχάτως, αὐτὸς ἔσωσε περιφανῶς προστὰς
καὶ ὑπερασπίσας· τότε δὲ τυραννεύοντα τῆς πόλεως καὶ συχνοὺς τῶν
πρώτων ἀπεκτονότα πολιτῶν ἀκρίτους, ἐπειδὴ λέγων καὶ συμβουλεύων
μεταβαλόμενον ζητεῖν τινὰ τῶν ἡμαρτημένων πρὸς τοὺς πολίτας ἐπαν-
3 όρθωσιν οὐδαμῶς ἔπειθεν, ἀπέκτεινεν. ἔπειτα τῆς μητρὸς αὐτῷ καταρω-
μένης καὶ οὐδὲ προσιδεῖν ἐθελησάσης, καί τινων καὶ ἄλλων μεμφομένων
ὡς δὴ ἀδελφοῦ φονέα τῶν τῷ τυράννῳ φίλων γεγονότων, ἀθυμήσας τέως
μὲν καθ' αὑτὸν διῃτᾶτο, συχνῶν γε ἐτῶν τοῖς κοινοῖς οὐ προσιὼν
4 οὐδ' ἀρχὴν οὐδὲ μίαν ἐν τῇ πόλει μετακεχειρισμένος. τότε δέ, ἐπειδὴ
ζητούντων τῶν ἀρχόντων τὸν ἡγησόμενον τοῦ στόλου ὠνόμασέ τις
Τιμολέοντα τὸν Τιμοδήμου, ἅπασιν ἔδοξε κατὰ θεὸν μνησθῆναι τοῦ
ἀνδρός· οὐ γὰρ ἂν εὑρήσειν ἄλλον ἐπιτηδειότερον οὐδένα ἐπὶ τῇ τοιαύτῃ
5 πράξει. καί τις αὐτῷ τῶν γε ἐπιεικῶν ἀνδρῶν στρατηγῷ ἤδη ᾑρημένῳ
'χρή σε' ἔφη, 'ὦ Τιμολέων, ἐκεῖνο μεμνῆσθαι, ὡς ἐὰν μὲν καλῶς ἀγωνισώ-
μεθα, τύραννον δόξομεν ἀπεκτονέναι, ἐὰν δὲ φαύλως, ἀδελφόν.'
36 Ἐπεσήμηνε μὲν οὖν αὐτῷ ἐπὶ τῇ αἱρέσει τὴν ἐσομένην λαμπρότητα τῶν
πράξεων καὶ τῶν ἀπὸ τοῦ θείου ἄττα, ἄλλα τὲ καὶ ἐς Δελφοὺς ἀφιγμένῳ
καὶ τεθυκότι ἐπὶ τῇ αἱρέσει τῆς γε στρατηγίας, ἐπ' ἐξόδῳ τὲ ἤδη ὄντι τοῦ
ἱεροῦ, ταινία τὶς τῶν τῷ θεῷ πρὸ πολλοῦ ἀνατεθειμένων μετέωρος
αἰωρουμένη ἀπορραγεῖσα τῇ κεφαλῇ περιπίπτει τῇ τοῦ Τιμολέοντος, ὡς
2 δόξαι ἂν ὑπὸ τοῦ θεοῦ αὐτὸν στέφεσθαι. ἔτι τὲ ἀνηγμένῳ ἤδη μετὰ τῶν
τριήρων, ὧν ἦσαν Κορίνθιαι μὲν ἑπτά, Κερκυραῖαι δὲ δύο καὶ Λευκαδία
μία, καὶ ὄντι ἐν πλῷ σέλας κατ' οὐρανὸν ὀφθὲν δεξιὸν καὶ προδεδραμηκός,
ἐφ' ὃ δὴ αἱ νῆες ᾖεσαν, πολλὴν καὶ τοῦτο τοῦ τὸν στόλον κατορθώσειν τὶ
3 λαμπρὸν παρεῖχεν ἐλπίδα. ἀλλ' αἱ ἀγγελίαι δειναὶ ἤδη ἰοῦσαι, ὡς κρατοίη
μὲν Ἱκέτης τῆς Συρρακουσίων πόλεως, Διονύσιον δ' ἐς τὴν ἀκρόπολιν
καὶ τὴν Νῆσον καλουμένην συνεσταλμένον ἀποτειχίζοι, Καρχηδονίων
δὲ πάμπολυς στόλος αὐτῷ πάρεστι σύμμαχος, αὗται δὲ αἱ ἀγγελίαι

3 c. 35, 1 Plut. Tim. 3, 2. 7, 7. 8, 4. 11, 5 || 5 c. 35, 2 Plut. Tim. 4 || 12 c. 35, 3 Plut. Tim. 5, 3–4. 7, 1 || 16 c. 35, 4–5 Plut. Tim. 3, 2. 7, 2 || 23 c. 36, 1–3 Plut. Tim. 8, 1–7. 9, 1–4

4 ἐπὶ σπεύδοντες M || 14–15 τέως μὲν καθ' ras. M

ἀθυμίαν αὖ παρεῖχον αὐτῷ τε Τιμολέοντι καὶ τοῖς στρατιώταις, μὴ
οὐδ' ἐπιβήσεσθαι Σικελίας οἷοί τε γένωνται. καίτοι ἐκάλει Ἀνδρόμαχος ὁ 4
Ταυρομενείου δυνάστης ὡς ἑαυτὸν, δυναστῶν τῶν τότε ἐπιεικέστατος,
ἐλπίδας διδοὺς τοῦ καταπράξειν ἐφ' ἃ ὥρμηνται, ὡς οὔθ' Ἱκέτῃ οὔτε
Διονυσίῳ τοὺς ἀνθρώπους εὔνους ὄντας καὶ ἀσμένους ἂν αὐτῷ Τιμολέοντι
προσθησομένους. τούτου Ἀνδρομάχου Τίμαιος ὁ τὰς ἱστορίας συγγεγρα-
φὼς παῖς ἦν.

Ἀλλὰ Τιμολέων τὴν Ἰταλίαν τέως παραπλέων ἀφικνεῖται ἐς Ῥήγιον — 37
τὸ δὲ Ῥήγιον τῆς Ἰταλίας ἐστὶ πρὸς τῷ πορθμῷ τῷ διαρρέοντι τήν τε
Ἰταλίαν καὶ Σικελίαν —, ἔνθα περιτυγχάνει Καρχηδονίων τριήρεσιν
εἴκοσι καὶ ἐπ' αὐτῶν πρεσβείᾳ Ἱκέτου ἀξιούσῃ, αὐτὸν μὲν Τιμολέοντα
ὡς Ἱκέτην ἀφικέσθαι μόνον, σύμβουλον αὐτῷ συνεσόμενον, τοὺς δὲ
στρατιώτας καὶ τριήρεις ἀναπέμπειν ὀπίσω αὖ ἐς Πελοπόννησον, ὡς δὴ
οὐδὲν αὐτῶν δέον ἐς τὰ παρόντα πράγματα καὶ μὴ δεῖν ἐς αὐτοὺς δαπανᾶν
περίεργόν τινα δαπάνην. ταῦτα τῆς πρεσβείας λεγούσης, ἔμελλον, εἰ μὴ
πείθοιτο τούτοις Τιμολέων, ὡς πολεμίῳ αὐτῷ αἱ Καρχηδονίων νῆες
χρήσασθαι. Τιμολέων δὲ, νομίσας οὐκ ἀξιόμαχος εἶναι δέκα ταῖς ἑαυτοῦ 2
ναυσὶ πρὸς εἴκοσι τὰς Καρχηδονίων διαναυμαχῆσαι, ἔγνω δεῖν ἀπάτῃ τὸν
κίνδυνον ἀποδρᾶναι. καὶ δὴ προσποιησάμενος δέχεσθαι τὰ λεγόμενα, 3
βούλεσθαι μέντοι μετὰ τῆς Ῥηγίνων πόλεως αὐτὰ βεβαιώσασθαι, καὶ
τοῦτο ἀξιοῦν καὶ αὐτὸς, ἐπειδὴ τούτοις πεισθέντες οἵ τε Ἱκέτου πρέσβεις
καὶ οἱ Καρχηδονίων ἄρχοντες παρῆλθον ἐς τὴν Ῥηγίνων ἐκκλησίαν ὑπὲρ
αὐτῶν δὴ τούτων, Ῥηγίνων μὲν οἱ Τιμολέοντι τὴν ἀπόδρασιν συμπράττον-
τες ἀρξάμενοι ἐδημηγόρουν, παμμήκεις τινὰς λόγους συνείροντες ἄλλος
τὲ ἄλλῳ παραδιδόντες τὴν δημηγορίαν. Τιμολέων δ' ἐν τούτῳ λαθὼν καὶ 4
ἐκ τῆς ἐκκλησίας ἀποδρὰς ἐς τὰς ἑαυτοῦ ναῦς, ὡς τάχιστα ἀναχθεὶς
ἀφικνεῖται ἐς Ταυρομένειον παρὰ Ἀνδρόμαχον.

Ἀνδρόμαχος μὲν οὖν ὥσπερ καὶ ἐκάλει Τιμολέοντα, οὕτω δὴ ἄσμενος 38
καὶ ὑπεδέδεκτο τά τε πρὸς τὴν Συρρακουσίων τὲ καὶ Σικελίας τῆς ἄλλης
ἐλευθερίαν συνέπραττεν αὐτῷ. Καρχηδόνιοι μέντοι χαλεπαίνοντες ἐπὶ τῷ 2
ἠπατῆσθαι τὲ καὶ κατεστρατηγῆσθαι, πέμπουσι πρεσβευτὴν ἐπὶ τριήρους
πρὸς Ἀνδρόμαχον, κελεύσοντα ἀποπέμπειν Τιμολέοντα· ὃς ἐλθὼν καὶ
πολλὰ ὑπερηφάνως τὲ καὶ ἀπειλητικῶς διαλεχθεὶς, τελευτῶν νῦν μὲν
ὑπτίαν τὴν χεῖρα, νῦν δὲ πρηνῆ πεποιηκὼς ἐκέλευεν ἀποπέμπειν Τιμο-

2 c. 36, 4 Diod. 16, 7, 1; Plut. Tim. 10, 6–8 || 8 c. 37 Diod. 16, 68, 4–6; Plut. Tim. 9, 5–10, 6 || 28 c. 38, 1 supra c. 36, 4; Diod. 16, 68, 8 || 30 c. 38, 2–3 Plut. Tim. 11, 1–4

3 ταυρομενείου (et 27 ταυρομένειον) cum Diod. codd. (R^{pc}), cf. etiam Suid. τ 163 Adler et al. Ταυρομένιον Diod. cod. R^{ac} ed., Plut. ed. || 13 ὀπίσω M

3 *λέοντα, εἰ βούλοιτο μὴ ἀντὶ τοιαύτης τὴν πόλιν τοιάνδε ἐπιδεῖν. Ἀνδρόμαχος δ' ἄλλο μὲν εἶπεν οὐδέν, τὴν δὲ χεῖρα καὶ αὐτὸς ὥσπερ ἐκεῖνος νῦν μὲν ὑπτίαν, νῦν δὲ πρηνῆ πεποιηκὼς ἐκέλευσεν ὡς τάχιστα ἀποπλεῖν, εἰ βούλοιτο μὴ ἀντὶ τοιαύτης τὴν ναῦν τοιάνδε ἐπιδεῖν. Ἱκέτης μὲν οὖν πεπυσμένος τὴν Τιμολέοντος διάβασιν καὶ ἑτέρας μετεπέμπετο καὶ συνεκάλει τῶν Καρχηδονίων τριήρεις.*

39 *Τῶν δὲ πόλεων καὶ ἀνθρώπων ἦσαν οἵ, καίπερ μισοῦντες τοὺς τυράννους, ὅμως καὶ Τιμολέοντι ἠπίστουν τέως καὶ προυβάλλοντο μεμνημένοι Καλλίππου τὲ τοῦ Ἀθηναίου καὶ Φάρακος τοῦ Λακεδαιμονίου, οἳν ἑκάτερος στρατοπέδων τὲ ἡγουμένω καὶ φάσκοντε ἐπὶ Σικελίας τῇ ἐλευθερίᾳ ἥκειν, πολὺ ὅμως χείρονε ἑαυτὼ ἀπέδειξαν τῶν ἐπιχωρίων*
2 *τυράννων. οὐ μὴν ἀλλ' ἐν τούτῳ ὄντων τῶν πραγμάτων, πρῶτοι Ἀδρανῖται πόλιν ἔχοντες οὐ μεγάλην, στασιάσαντες ἐν ἀλλήλοις οἱ μὲν Τιμολέοντα ἐκάλουν, οἱ δ' Ἱκέτην τὲ καὶ τοὺς Καρχηδονίους. καί πως κατὰ τύχην ἀφικνεῖσθον ἄμφω ἐς τὴν αὐτὴν ἡμέραν τὲ καὶ τῆς γε ἡμέρας ὥραν δείλην Ἱκέτης τὲ καὶ Τιμολέων πρὸς τῇ πόλει, Τιμολέων μὲν οὐ πλείους*
3 *διακοσίων καὶ χιλίων ἄγων, Ἱκέτης δὲ περὶ πεντακισχιλίους. ἐνταῦθα Τιμολέων, παρακαλέσας τοὺς αὑτοῦ καίπερ συχνόν γε ὡδοιπορηκότας μὴ μέλλειν, ἀλλ' ἄνδρας τὲ ἀγαθοὺς γίγνεσθαι καὶ τοῖς πολεμίοις τηνικαῦτα σκηνοποιουμένοις τὲ καὶ κατὰ τὸ εἰκὸς ἀτάκτοις οὖσιν ἐπιτίθεσθαι, χωρεῖ τὲ ἐπ' αὐτοὺς δρόμῳ καὶ τρεψάμενος κτείνει μὲν οὐ πολλῷ πλείους τριακοσίων, ζωγρεῖ δὲ καὶ δὶς τοσούτους· τοὺς δ' ἄλλους αἰσχρῶς ποιήσας φυγεῖν, κρατήσας δὲ καὶ τῆς ἀποσκευῆς, λαμπρὰν αἵρεται νίκην, πλειόνων*
4 *ἢ τετραπλασίων οὕτω παρὰ πολὺ κεκρατηκώς. καὶ Ἀδρανῖται μὲν εὐθὺς ὑπὸ θαύματος οὐκ ἔτι στασιάζοντες, συγχωρήσαντες δὲ ἀλλήλοις, τὰς πύλας ἀνοίξαντες δέχονται τῇ πόλει τὸν Τιμολέοντα. ἤδη δὲ καὶ αἱ ἄλλαι πόλεις, ταύτην πεπυσμέναι τὴν νίκην, διεπρεσβεύοντο πρὸς Τιμολέοντα καὶ παρεδίδοσαν σφᾶς αὐτοὺς ἐς τὴν συμμαχίαν, σὺν αἷς καὶ ὁ Κατάνης τύραννος Μάμερκος, ἀνὴρ χρήμασί τε δυνατὸς καὶ τῇ περὶ τὰ πολεμικὰ δεινότητι.*

40 *Ἐν δὲ τούτῳ ὄντων τῶν πραγμάτων, ἤδη καὶ Διονύσιος ἀπεγνωκὼς ταῖς ἐλπίσι καὶ συνορῶν, ὡς ἤτοι ὑπὸ Ἱκέτου ἢ αὖ ὑπὸ Τιμολέοντος ἀνάγκη καὶ ἓ ἐκπολιορκηθῆναι, Ἱκέτου μὲν κρατοῦντος, ὑπ' αὐτοῦ Ἱκέτου, εἰ δὲ Τιμολέων κρατήσει, ὑπὸ Τιμολέοντος, ἔγνω δεῖν Τιμολέοντί*

7 c. 39 Plut. Tim. 11, 5–13, 2 || 31 c. 40 Plut. Tim. 13, 3–10

12 *ἁδρανῖται* M, cf. p. 24, 33 (ἁ-), contra 24 (ἀ-): inter spiritum lenem et asperum saepius fluctuant libri (ex. gr. Diod. 16, 68, 10), cf. K. Ziegler, RE VII 2, 1912, 2164 Ἀ- Plut. Diod. ed.

τε καὶ Κορινθίοις ἑαυτόν τε παραδιδόναι καὶ τὴν ἄκραν, ἅμα μὲν κατα-
πεφρονηκὼς Ἱκέτου ὡς αἰσχρῶς ἡττημένου, ἅμα δὲ καὶ Τιμολέοντι καὶ
Κορινθίοις πιστεύων ἐς τὴν τοῦ σώματος ἀσφάλειαν μᾶλλον ἢ Ἱκέτῃ. καὶ 2
δὴ διαπρεσβευσάμενος πρὸς Τιμολέοντα καὶ τυχὼν τῆς τε ἐς τὸ σῶμα καὶ
χρήματα ἃ ἂν ἐπιφέροιτο ἀσφαλείας, οὕτω τὴν ἄκραν ἐκείνῳ παραδίδωσι.
καὶ Τιμολέων μὲν πέμψας Εὐκλείδην καὶ Τηλέμαχον ἄνδρας Κορινθίους 3
καὶ σὺν αὐτοῖς τετρακοσίους στρατιώτας, οὗτοι δὴ ἀθρόους – οὐ γὰρ
ἐνεχώρει, στρατοπέδων καὶ ἐκ γῆς καὶ ἐκ θαλάττης περικαθημένων –,
ἀλλὰ κρύφα τὲ καὶ κατ᾽ ὀλίγους, παραλαμβάνει τὴν ἄκραν αὐτοῖς στρατιώ-
ταις τὲ τοῖς ἐνοῦσι καὶ ὅπλοις καὶ ὅση τις ἄλλη παρασκευὴ ἐς φρουρὰν
χρήσιμος ἐνῆν. Διονύσιος δ᾽ ἐπὶ νεὼς οὐ μεγάλης μετὰ φίλων τὲ ὀλίγων 4
καὶ χρημάτων οὐ πολλῶν ἐκπεπλευκὼς ἀφικνεῖται ὡς Τιμολέοντα, τότε
πρῶτον ἰδιώτης ὀφθείς. γεγεννημένος μὲν γὰρ ἐν τυραννίδων τῇ ἐπι-
φανεστάτῃ, δέκα δ᾽ ἔτη μετὰ τὴν τοῦ πατρὸς ἄρξας τελευτήν, δώδεκα
δ᾽ ἄλλα μετὰ τὴν Δίωνος στρατείαν ἐν πολέμοις καὶ μυρίοις κακοῖς
διαπεφορημένος, ἀεὶ δὲ τῶν ὑπὲρ τῆς τυραννίδος ἐλπίδων οὐ μεθιέμενος,
τότε πρῶτον ὤφθη τάς τε ἐλπίδας μεθεὶς καὶ ἰδιωτεύσας.
Τιμολέων μὲν οὖν αὐτὸν ὥσπερ εἶχεν ἐς Κόρινθον ἀναπέμπει. ὁ 41
δ᾽ ἐκεῖσε ἀφικόμενος τὸ λοιπὸν τοῦ βίου ταπεινὰ πράττων διετέλει, καὶ
ἐφαίνετό γε οὐδὲ πάνυ τι ἀγανακτῶν ἐπὶ τῇ τοῦ βίου μεταβολῇ, ἀλλὰ καὶ
ποτέ τῳ ἐρωτῶντι ἐπὶ χλεύῃ, τί τῆς Πλάτωνος ἀπολαύσειε σοφίας,
‘μῶν οὖν σοι᾽ ἔφη ‘οὐδὲν δοκοῦμεν ὠφελῆσθαι ὑπὸ Πλάτωνος, τηλι-
καύτην οὕτω πράως φέροντες βίου μεταβολήν;᾽ ἑτέροις δὲ ἐμμελῶς 2
πυνθανομένοις, τί αὐτῷ τὴν πρὸς Πλάτωνα ποιήσειε διαφοράν, πολλῶν
τὴν τυραννίδα ἔφη κακῶν οὖσαν μεστὴν οὐδὲν ἔχειν τηλικοῦτον, ὡς τὸ
τοὺς δοκοῦντας τῷ τυράννῳ φίλους μὴ μετὰ παρρησίας διαλέγεσθαι·
ὑπὸ γὰρ τῶν τοιούτων καὶ αὐτὸς τῆς ἐς Πλάτωνα ἀπεστερῆσθαι εὐνοίας.
ἀλλὰ Πλάτων Διονύσιον ἰδιώτην οὐκ ἐπεῖδεν· ἔφθη γὰρ ἤδη τετελευτη-
κώς. Διονυσίου δὲ κἀκεῖνο χάριεν τὸ πρὸς Φίλιππον τὸν Μακεδόνων 3
βασιλέα. ὅτε γὰρ Ἑλλήνων Φίλιππος τῇ περὶ Χαιρώνειαν μάχῃ κεκρατήκει,
ἐπειδὴ καὶ ἐς Κόρινθον παρεληλύθει, τὴν Ἑλλήνων ἡγεμονίαν περι-
ποιούμενος, παραλαμβάνει παρά τινα πότον καὶ Διονύσιον. λόγου δὲ
γεγονότος περὶ τῶν Διονυσίου τοῦ πρεσβυτέρου ποιημάτων καὶ Φιλίππου
πυνθανομένου ἐπὶ χλεύῃ, πηνίκα ὁ πατὴρ αὐτοῦ τοῖς ποιήμασι σχολάζοι,
‘ἡνίκα᾽ ἔφη Διονύσιος ‘καὶ σὺ κἀγὼ καὶ πάντες οἱ μακάριοι δοκοῦντες
περὶ κώθωνά τε καὶ πότους διατρίβομεν᾽.
Ἀλλ᾽ ἐπὶ τὰς ἐν Σικελίᾳ αὖ πράξεις ἐπανίωμεν. Κορίνθιοι μὲν γὰρ ἅμα 42

18 c. 41 Plut. Tim. 13, 8. 14. 15, 1. 4–5. 7–8 || 37 c. 42 Plut. Tim. 16, 2–3. 18, 1. 19, 1

τῇ Διονυσίου ὡς σφᾶς ἀφίξει καὶ ἄλλην βοήθειαν ἐψηφισμένοι Τιμολέοντι
2 πέμπουσι, δισχιλίους μὲν ὁπλίτας, ἱππέας δὲ διακοσίους. οἳ καὶ ἀφιγμένοι
ἄχρι Θουρίων οὐκ ἔτι καὶ ἐπὶ Σικελίαν διαβαίνειν οἷοι τ᾽ ἦσαν, ὑπὸ
πλήθους τῶν Καρχηδονίων νεῶν τὴν θάλατταν ἐπ᾽ αὐτὸ τοῦτο φρουρου-
σῶν, ὅπως ἐκεῖνοι μὴ διαβαῖεν, κωλυόμενοι. καὶ δὴ οἱ μὲν περιέμενον
αὐτοῦ ἐν Θουρίοις, εἴ ποτέ του ἀπροσδοκήτου συμβάντος ἐς Σικελίαν
3 διαβαῖεν. Τιμολέων δὲ τὴν ἄκραν παρὰ Διονυσίου σίτου σπανίζουσαν
παρειληφὼς αὐτὸς εἰσέπεμπεν ἐκ Κατάνης οὐ μεγάλοις τισὶ πλοίοις,
ὅπως καὶ μᾶλλον λανθάνοιεν· χαλεπῶς μὲν οὖν καὶ παρακινδύνως
εἰσεπέμπετο ὁ σῖτος διὰ τὰς τῶν Καρχηδονίων τριήρεις, ὅμως μέντοι
εἰσεπέμπετο. ἐν δὲ τούτοις τοῦ χρόνου τριβομένου, τάδε ὀψέ ποτε εὐτυχή-
ματα Τιμολέοντί τε καὶ Κορινθίοις συνέπεσε γενέσθαι.
43 Οἱ μὲν γὰρ ἐν Θουρίοις Κορίνθιοι, ἀχθεσθέντες τῇ ἐν τῷ αὐτῷ ἕδρᾳ,
ἔγνωσαν πεζῇ κατὰ γῆς πορευθέντες ἐν Ῥηγίῳ γενέσθαι, ὅθεν ῥᾶον ἂν
ἴσως διαβαῖεν διὰ τὸ στενὸν τοῦ πορθμοῦ. καὶ δὴ ἀπολιπόντες τὰ οἴκοθεν
πλοῖα πεζῇ ἐχώρουν ἐς Ῥήγιον, οἷς μεταξὺ περιτυγχάνοιεν βαρβάροις,
πειρωμένοις μὲν τὴν δίοδον κωλύειν μαχόμενοί τε καὶ νικῶντες, τοῖς
2 δ᾽ ἄλλοις σπενδόμενοι. ἅμα δὲ καὶ ὁ τῶν Καρχηδονίων νεῶν ναύαρχος
τῶν τὴν ἐκείνων διάβασιν φυλαττουσῶν, ἀχθεσθεὶς καὶ αὐτὸς τῇ προσ-
εδρείᾳ τῆς φυλακῆς, ἀσπίσι τὲ Ἑλληνικαῖς καί τισι καὶ ἄλλοις ὅσοις
εὐπόρησεν ὅπλοις τὰς ναῦς κεκοσμηκώς, ᾤχετο ἐπὶ Συρρακούσας,
διαθρυλλῶν ὡς ἕλοι τοὺς Κορινθίους περαιουμένους κατὰ θάλατταν,
σοφόν τι τοῦτο οἰηθεὶς ἐπινενοηκέναι καὶ ἀθυμίαν τοῖς ἐν Σικελίᾳ
Κορινθίοις οὐ μικρὰν ἐμβαλοῦν, καίπερ οὐδ᾽ ἂν ἐπὶ πολὺ μενοῦσαν,
ἀλλ᾽ ὡς τάχιστά γε παυσομένην, ψευδοῦς τῆς φήμης παρὰ χρῆμα ἐλεγ-
3 χθησομένης. οἱ μέντοι ἐν Ῥηγίῳ γεγονότες Κορίνθιοι κατὰ πολλὴν ἤδη
ἄδειαν διέβαινον ἐς Σικελίαν μικροῖς τισι πορθμείοις, καὶ εὐθὺς μὲν καὶ
Μεσήνην Τιμολέων εἶχε, πόλιν οὐ φαύλην κειμένην τῆς Σικελίας πρὸς
τῷ πορθμῷ. τοῦτο μὲν δὴ τοιοῦτον ἐγένετο.
44 Ὁ δ᾽ Ἱκέτης ἔτυχε μὲν καὶ πρότερον ἤδη ἐπιβουλήν τινα ἐπιβεβουλευκὼς
2 Τιμολέοντι καὶ ἀποτετυχηκώς. ἦν τὲ ἡ ἐπιβουλὴ τοιάδε. δύο τινὲ ξένω
κατεσκευακὼς ὑπέπεμψε Τιμολέοντι ἀποκτενοῦντε δόλῳ τὸν ἄνδρα, ὣ
καὶ ἀφιγμένω ἐς Ἀδρανὸν, οὗ τότε ἔτυχε Τιμολέων διατρίβων, ἐπεὶ
ἐπυθέσθην θυσίαν τινὰ αὐτὸν μέλλοντα θύειν, ἐγνωκέτην παρ᾽ αὐτὴν
τὴν θυσίαν τῷ ἀνδρὶ ἐπιχειρεῖν· καὶ δὴ τῆς θυσίας ἐνστάσης, ἐπειδὴ

13 c. 43 Plut. Tim. 19, 2–20, 1 || 28 Strab. 6, 2, 2 || 30 c. 44 Plut. Tim. 16, 5–11

28 μεσήνην M cum Plut. codd. KPQZ, cf. etiam Ptol. geogr. 3, 4, 9 et al. Μεσσήνην Plut. ed.

ἀναμιχθέντε τοῖς πολλοῖς τῶν ἀμφὶ τὴν θυσίαν ἀλλήλοιν ἤδη παρεκε-
λευέσθην ὅσον οὔπω ἔχεσθαι τοῦ ἔργου, παίει τις αὐτοῖν τὸν ἕτερον κατὰ
τῆς κεφαλῆς ξίφει. καὶ ὁ μὲν ἔκειτο, ὁ δὲ παίσας, ἐκδραμὼν εὐθύς, 3
οὕτως ὡς εἶχε σὺν τῷ ξίφει ἐπί τινα ὑψηλὴν πέτραν ἀνεπήδησεν. ὁ δ' αὖ
ἕτερος τοῖν ἐπὶ τῷ Τιμολέοντι ἡκόντοιν, πεπτωκότος τοῦ κοινωνοῦ,
προσδραμὼν εὐθὺς τῷ βωμῷ ἄδειαν ἐκεῖθεν ᾔτει ἐπὶ τῷ μηνῦσαι πᾶν τὸ
ἀτρεκές. ἧς καὶ τυχὼν μηνύει κατά τε ἑαυτοῦ καὶ τοῦ τεθνηκότος, ὅπως
δὴ ὑπὸ Ἱκέτου κατεσκευασμένοι ἡκέτην Τιμολέοντα ἀποκτενοῦντε δόλῳ.
ἐν δὲ τούτῳ καὶ τὸν τὸν ἕτερον ἀπεκτονότα κατῆγον ἄλλοι, βοῶντα ὡς 4
οὐκ ἀδικεῖ· τῷ γὰρ πατρὶ ἑαυτοῦ τιμωρῶν τὸν ἄνθρωπον ἀπεκτονέναι,
ὅν ποτε ἐκεῖνος ἐν Λεοντίνοις ἀπεκτόνει. καί τινας καὶ τῶν παρόντων
μαρτυροῦντας εἶχεν. ἐφ' οἷς πάντες μὲν οἱ παρόντες τῆς τύχης ἐθαύμαζον
τὸ εὐμήχανον, ὅπως δι' ἑτέρων ἕτερα κατασκευάζει, ἐς ταυτόν τι συν-
άγουσα τὰ μὴ μικρῷ ἀλλήλων ἀπηλλοτριωμένα. οἱ δὲ Κορίνθιοι καὶ 5
ἐστεφάνωσαν δέκα μναῖς τὸν ἄνθρωπον, ὅτι τῷ πατρὶ δικαίως τιμωρῶν
καὶ Τιμολέοντα σφίσι περιεποίησεν.

Ὁ δ' Ἱκέτης τούτου οὐ μόνον ἀποτυχών, ἀλλὰ καὶ δόξαν παρὰ Σικελιώ- 45
ταις μείζω περιθεὶς Τιμολέοντι, ὡς ἀνὴρ εἴη θεοφιλής, ἑτέρῳ αὖ ἔργῳ
ἐνεχείρησεν, ὑφ' οὗ καὶ αὐτοῦ τὰ Ἑλλήνων πράγματα ὤνησεν. ὀργιζόμενος 2
γὰρ Μαμέρκῳ καὶ τοῖς Καταναίοις, ὅτι δι' αὐτῶν τοῖς ἐν τῇ ἄκρᾳ ὁ σῖτος
εἰσεπέμπετο, πείσας Μάγωνα, στρατεύετον ἐπὶ Κατάνην τῷ πλείστῳ
τῆς δυνάμεως, δίκας ληψομένω ὧν Τιμολέοντι καὶ Κορινθίοις ὑπηρέτουν.
ἐν δὲ τούτῳ Νέων ἀνὴρ Κορίνθιος, ὃν Τιμολέων μετὰ τὴν τῆς ἄκρας 3
παράληψιν τῶν ἐκεῖ ἄρχοντα εἰσέπεμψε, τοῖς ἐν τῇ πόλει ὑπὸ Ἱκέτου
ὑπολελειμμένοις ἐξαίφνης ἐπιπεσὼν ἐκράτησέ τε καὶ κατασχὼν τὴν
καλουμένην Ἀχραδινήν, μέρος οὖσαν τῆς πόλεως τὸ κράτιστον ἰδίῳ τε
περιησφαλισμένην τείχει, οὐκ ἔτι δὴ μεθίει. Ἱκέτης δὲ καὶ Μάγων 4
πυθομένω τὸ γεγονὸς κατὰ τάχος ἐς Συρρακούσας αὖθις ἐπανεχωρείτην,
οὔτε ἐπὶ Κατάνην πράξαντε οὐδὲν καὶ Συρρακουσῶν τὸ κράτιστον
ἀποβαλόντε, οὐδ' ἰσχύσαντε οὐκ ἔτι ἐπαναλαβεῖν· ἤδη δὲ καὶ τῶν ἐν
Ῥηγίῳ γεγονότων Κορινθίων διαβεβηκότων ἐς Σικελίαν, ὁ Τιμολέων
ἐπὶ Συρρακούσας ἐλθὼν στρατοπεδεύεται πρὸς τῇ πόλει, οὐ πλείους ἢ
τετρακισχιλίους ἀγαγὼν ἐπὶ πολλαπλασίους τοὺς μετὰ τοῦ Ἱκέτου, τῇ
μέντοι ἀρετῇ τῇ αὑτοῦ καὶ τύχῃ πεποιθώς.

Ἐνταῦθα τῶν Τιμολέοντος μισθοφόρων ἔν τινι σχολῇ τοῖς Ἱκέτου 46
μισθοφόροις ἀναμιγνυμένων, Ἑλλήνων Ἕλλησι, καὶ μάλιστα περὶ τὴν τῶν
ἐγχέλεων θήραν τῶν ἐν τοῖς ἕλεσι τοῖς πρὸ τῆς πόλεως, καί τινος τῶν

17 c. 45 Plut. Tim. 16, 12–17, 1. 18, 2–7. 20, 1. 11 || 35 c. 46, 1–2 Plut. Tim. 20, 2–21, 1. 22, 8

Τιμολέοντος μισθοφόρων εἰπόντος πρὸς τοὺς Ἱκέτου μισθοφόρους, ὡς ἀδικεῖ Ἱκέτης οὐ Τιμολέοντι συμβαίνων, ὑφ' οὗ καὶ τιμῆς ἂν ἔτυχεν οὐ μεμπτῆς τοὺς βαρβάρους τούτους ἀποπεμψάμενος, ἀλλ' ὀλέθροις ἀνθρώποις τοῖς Καρχηδονίοις δὴ τούτοις καταδουλῶν τοιαύτην πόλιν, ὁ λόγος
2 *οὗτος διαθρυλλούμενος πᾶσαν ἐπήει τὴν πόλιν. καὶ δὴ καὶ Μάγων ταῦτα πεπυσμένος, ἐν νῷ δὲ λαβὼν καὶ τὴν τῆς Ἀχραδινῆς ὑπὸ Νέωνος ἅλωσιν καὶ οἰηθεὶς κἀκεῖνο προδοσίᾳ τινὶ γεγονέναι, καὶ τότε αὖ τὰ πάντα πράγματα προδίδοσθαι ὑποπτεύσας, δείσας δὲ καὶ περὶ ἑαυτῷ ὑπὸ ἀνανδρίας, καίπερ τοσούτῳ πεφραγμένος τῷ ἐκ τῆς πατρίδος στόλῳ, ἄρας ὅλοις ἱστίοις εὐθὺ Καρχηδόνος ἔπλει· οἷ δὴ ἀφιγμένος, ἐπειδὴ αὐτόν τινες ἐς δίκην ὑπῆγον λόγον ἀποδώσοντα τῆς στρατηγίας, ὁ μὲν τὴν δίκην φθάσας ἑαυτὸν ἀναιρεῖ. Καρχηδόνιοί γε μὴν καὶ τεθνεῶτος οὕτω τὸ*
3 *σῶμα ἀνεσκολόπισαν. Ἱκέτης μέντοι ἐν Συρρακούσαις μένων, καίπερ Μάγωνος ἠρημωμένος, τέως μὲν τῆς πόλεως ἔτι εἴχετο, ἐπεὶ δ' ἔνθεν μὲν Τιμολέων ἁπάσῃ προθυμίᾳ προσέβαλλε τοῖς τείχεσι, Νέων δ' ἐκ τῆς Ἀχραδινῆς ἐπεξήει, οὕτω δὴ ἐκλιπὼν τὴν πόλιν ἐς Λεοντίνους ἀπεχώρησε.*

47 *Τιμολέων δ' ἑλὼν οὕτω τὴν πόλιν, τήν τε ἐλευθερίαν Συρρακουσίοις ἀπεδίδου καὶ τὴν ἀκρόπολιν καὶ τὰ τυραννεῖα, τῆς γε πολυτελείας οὐ φεισάμενος, κατέσκαψε, πᾶσαν ὑποψίαν τοῦ τυραννεύσειν ἂν τῆς πόλεως*
2 *ἐξαιρῶν. ὁρῶν δὲ τὴν πόλιν ἐκ πολυανθρωποτάτης ἐς δεινήν τινα ὀλιγανθρωπίαν ὑπερρυηκυῖαν, τῶν ἀνθρώπων ἔστι μὲν ὧν καὶ ἐν ταῖς τε στάσεσι καὶ πολέμοις ἀπανηλωμένων, τῶν δὲ πολλῶν τὰς τυραννίδας ἄλλων ἄλλοσε πεφευγότων, πείθει Συρρακουσίους πρεσβείαν πέμψαντας ἐς Κόρινθον δεῖσθαι τῆς μητροπόλεως ἐπιμεληθῆναι τὲ τῶν ἀποίκων καὶ*
3 *οἰκιστὰς ὥσπερ ἐξ ἀρχῆς γίγνεσθαι. καὶ δὴ τῆς πρεσβείας ἀφιγμένης ἐς Κόρινθον, Κορίνθιοι μὲν πέμποντες κατὰ πάσας τὰς τῆς Ἑλλάδος πόλεις καὶ πανηγύρεις τὰς ἱερὰς καὶ νήσους, ἐκήρυττον ὅτι Κορίνθιοι, καταλύσαντες τοὺς Συρρακουσίων τυράννους καὶ τοῖς πολίταις ἀποδιδόντες τὴν ἐλευθερίαν, συγκαλοῦσι καὶ τοὺς φεύγοντας Συρρακουσίων τὴν πατρίδα*
4 *ἐλευθέραν τοῦ λοιποῦ οἰκήσοντας. συνιόντων οὖν αὐτῶν ἁπάντων ἐς Κόρινθον, ἐπεὶ οὔπω ἱκανὸν ἐδόκει τὸ συνεληλυθὸς πλῆθος, ἔτι ἐκήρυττον καὶ ἔκ τε Κορίνθου καὶ τῆς ἄλλης Ἑλλάδος τὸν βουλόμενον ἰέναι ἐς Συρρακούσας ἐπὶ τῇ ἴσῃ καὶ ὁμοίᾳ μεθέξοντα τῆς πόλεως. καὶ δὴ οὕτω ἀξίου λόγου συνηθροισμένου πλήθους, ἔστελλον ἤδη Κορίνθιοι ἐς*

13 c. 46, 3 Diod. 16, 96, 6. 72, 2; Plut. Tim. 21, 2–3 || 18 c. 47 Plut. Tim. 22, 1–2. 4. 7. 23, 1–2. 5. 24, 3

10 *ἱστίοις* M || 15 *νέων* M immo *Ἰσίας* e Plut. Tim. 21, 3 || 23 *τυρρανίδας* M

Συρρακούσας τοὺς συνεληλυθότας. συνέπεμπον δ' αὐτοῖς καὶ Κέφαλον 5
καὶ Διόνυσον ἄνδρε Κορινθίω, συλληψομένω Τιμολέοντι τὰ περὶ τὴν τῆς
πολιτείας κατάστασίν τε καὶ νομοθεσίαν.

Ἡκόντων δὲ καὶ ἐξ Ἰταλίας ἄλλων οὐκ ὀλίγων, ὁ Τιμολέων τὴν μὲν 48
χώραν ἅπασι διένεμε, τὰς δ' οἰκίας χρημάτων ἀπεδίδοτο, εὐπορίαν τῷ
κοινῷ τῶν Συρρακουσίων μηχανώμενος ταμιείῳ ἔς τε ἄλλα χρημάτων
δεομένῳ καὶ μάλιστα ἐς τὸν προσδοκώμενον πόλεμον τῆς πόλεως, ὡς
τοὺς Καρχηδονίους ἀγγελλομένους αὖθις σὺν μεγάλῳ ἰέναι στόλῳ ἐπί τε
Συρρακούσας καὶ Σικελίαν τὴν ἄλλην. ἀπεδίδοντο δὲ καὶ οἱ ἀνδριάντες 2
κατακοπτόμενοι οἵ τε τῶν τυράννων καὶ φίλων αὐτῶν, κατηγορίας
ἐφ' ἑκάστῳ γιγνομένης καὶ τοῦ δήμου ψηφιζομένου· Γέλωνα μέντοι τὸν
παλαιὸν ἀγάμενοι τῆς νίκης, ἣν Καρχηδονίους ἐνίκησε πρὸς Ἱμέρᾳ τότε
πρῶτον τῆς τῆς Σικελίας ἁπάσης καταδουλώσεως πειρωμένους, καὶ τἆλλα
οὐ μοχθηρόν τινα ἀκοῇ εἰδότες τύραννον, ἐφείσαντο καὶ τοῦ ἀνδριάντος.
μετὰ δὲ ταῦτα ἔγνω δεῖν πρῶτον τοὺς τυράννους καὶ ἐκ τῆς ἄλλης Σικελίας 3
καταλῦσαι, πρὶν Καρχηδονίους αὐτόσε ἐς Σικελίαν καταπλεῦσαι. ἐξεστρα-
τευμένος οὖν εὐθὺς ἐς Λεοντίνους, ἀναγκάζει Ἱκέτην Καρχηδονίων
ἀποστάντα ὁμολογῆσαι τάς τε ἀκροπόλεις καθελεῖν καὶ ἰδιωτεύσειν
αὐτοῦ μένοντα ἐν Λεοντίνοις. μετὰ δὲ ἐπὶ Λεπτίνην στρατεύσας Ἀπολ- 4
λωνίας τὲ καὶ συχνῶν ἄλλων πολιχνίων τυραννοῦντα, ὡς κινδυνεύων κατὰ
κράτος ἁλῶναι ἑαυτὸν παραδεδώκει, φεισάμενος ἐς Κόρινθον ἀπέστειλεν.
ἔπειτα αὐτὸς μὲν ἐς Συρρακούσας ἐπανῄει τῇ τῆς πολιτείας καταστάσει 5
ἤδη προσέξων, τοὺς δὲ μισθοφόρους οὐ βουλόμενος ἀργεῖν σὺν Δημάρχῳ
τὲ καὶ Δημαράτῳ ἐς τὴν Καρχηδονίων ἐπικράτειαν ἐξέπεμψεν· ὅθεν
ληιζομένοις αὐτοῖς τε ὑπῆρχεν ἐν ἀφθόνοις ζῆν καὶ ἅμα χρημάτων ἐς τὸν
πόλεμον εὐπορία περιεγίγνετο, ἀποδιδομένων τῶν ἁλισκομένων.

Ἐν δὲ τούτῳ ἀγγέλλονται Καρχηδόνιοι καταπεπλευκότες ἐς Λιλύβαιον, 49
ὅ ἐστι τῆς Σικελίας τὸ πρὸς Λιβύῃ τεῖνον ἄκρον. ἡ μὲν οὖν σύμπασα
στρατιὰ περὶ ἑπτὰ μυριάδας ἐλέγετο ἐπιέναι· ἦσαν γε μὴν τριήρεις μὲν
διακόσιαι, πλοῖα δ' ἄλλα χίλια ἐλέγετο, ἀλλά τε κομίζοντα τῶν πρὸς τὸν
πόλεμον ἐπιτηδείων καὶ σῖτον ἄφθονον. στρατηγὼ δὲ τῆς δυνάμεως 2
ἁπάσης Ἀσδρούβας τὲ ἤστην καὶ Ἀμίλκας· οὗτοι μὲν οὖν εὐθὺς πεπυσμένοι
τὴν ἐπικράτειαν σφῶν πορθεῖσθαι, ὀργῇ ἐχώρουν πρῶτον ἐπὶ τοὺς
πορθοῦντας. ἐς δὲ Συρρακούσας τῆς ἀγγελίας ἀφιγμένης, οὕτω Συρρακού- 3

4 c. 48 Plut. Tim. 23, 6–8. 24 ‖ 27 c. 49 Plut. Tim. 25, 1. 3–6. 27–28 ‖ 28 Strab. 6, 2, 1

2 διόνυσον M cum Plut. cod. Q Διονύσιος Plut. ed. ‖ 12 ἱμέρα M ‖ 23 δημάρχω M cum Plut. cod. Q Δείναρχος Plut. ed. ‖ 24 δημαράτω M Δημάρετος Plut. codd. ed.

*σιοι πρὸς τοῦ στόλου τὸ μέγεθος καταπεπλήγεσαν, ὥστε Τιμολέοντι,
ἐγνωκότι δεῖν ἐπὶ τοὺς πολεμίους κατὰ τάχος χωρεῖν, ὡς ἐν τῇ ἐκείνων
ἐπικρατείᾳ τὸν πόλεμον συνάπτοντι, καὶ μὴ περιμένειν τὴν ἄλλην κατα-
δουλωσαμένους Σικελίαν καὶ ἐπὶ Συρρακούσας ἥκειν, μόγις τρισχιλίους
4 τὰ ὅπλα λαβόντας συνελθεῖν ἀπὸ μυριάδων οὐκ ὀλίγων. ἦσαν δ' αὐτῷ καὶ
οἱ μισθοφόροι τετρακισχίλιοι, καὶ τούτων ὡς χίλιοι καθ' ὁδὸν ἀποδειλιά-
σαντες ἀπετράπησαν, ὥστε τοὺς πάντας ἑξακισχιλίους τῷ Τιμολέοντι
περιλειφθῆναι. ὧν χίλιοι ἱππεῖς ἦσαν, οὓς παρακαλέσας τὲ καὶ ἐπιρρώσας
ἐπὶ τοὺς πολεμίους κατὰ τάχος ᾔει ἐς ποταμὸν Κριμισόν, οὗ αὐτοὺς
5 συνάπτειν ἤδη ἐπυνθάνετο. καὶ δὴ ἡ μὲν τοῦ ἔτους ὥρα τοῦ ἦρος ἦν, αὐτὸ
τὸ πρὸς θέρος ἤδη. ὁμίχλην μέντοι ὁ Κριμισὸς βαθεῖάν τινα ἀναδιδοὺς
οὔτ' αὐτὸς φανερὸς ἦν οὔτε τοὺς πολεμίους εἴα διαφαίνεσθαι, βοὴ δέ τις
μόνον σύμμικτος φερομένη αἴσθησιν αὐτῶν τῆς παρουσίας τοῖς Ἕλλησι
παρεῖχεν ἔκ τινος λόφου κατακούουσιν, οὗ τὴν πορείαν ἐπιστήσαντες
διανεπαύοντο· ὡς δ' ἡ ὁμίχλη μετεωριζομένη κατενέφωσε μὲν τὰς
ἀκρωρείας, τὸ δὲ πεδίον ἀνεκάθηρεν, ὁρῶσι τοὺς πολεμίους διαβαίνοντας
6 ἤδη τὸν Κριμισόν. μείνας οὖν ὁ Τιμολέων ἄχρι τοῦ τοσούτους διαβῆναι,
ὅσοις ἐθάρρησε διαμαχέσασθαι, καὶ ἔπειτα ἐμβαλὼν αὐτοῖς, κατακόπτει
μὲν τοὺς πρώτους, Καρχηδονίους ὄντας, τὸ δ' ἄλλο πλῆθος ἠνάγκασε
φυγεῖν αἰσχρῶς. καὶ νίκην αἴρεται καλλίστην ὀλιγίστοις στρατιώταις
πλείστους νικήσας.*

ΕΚ ΤΩΝ ΔΙΟΔΩΡΟΥ ΠΑΡΑΣΗΜΕΙΩΣΕΙΣ

1 *Περὶ τὴν ἕκτην καὶ ἑκατοστὴν ὀλυμπιάδα Ἀλέξανδρος ὁ Φεραίων
τύραννος ὑπὸ γυναικὸς τῆς ἑαυτοῦ Θήβης καὶ τῶν ταύτης ἀδελφῶν
Λυκόφρονος καὶ Τισιφόνου ἀνῃρέθη· οἳ τὰ μὲν πρῶτα εὐδοκίμουν παρὰ
τοῖς Θετταλοῖς, ἅτε δὴ τυραννοκτόνοι, μετὰ δὲ ταῦτα, τοὺς Ἀλεξάνδρου
δορυφόρους ἑαυτοῖς συστησάμενοι, τυράννους τὲ ἑαυτοὺς ἀνέδειξαν καὶ
2 πολλοὺς τῶν σφίσιν ἀντιπραττόντων ἀνῄρουν. οἱ δ' Ἀλευάδαι καλούμενοι,
ἀξίωμα ἔχοντες ἐν τοῖς Θετταλοῖς δι' εὐγένειαν, Φίλιππον τὸν Μακεδόνων
βασιλέα ἐπαγαγόμενοι, κατεπολέμησάν τε τοὺς τυράννους καὶ τὴν
ἐλευθερίαν ταῖς πόλεσιν ἀποκατέστησαν. ἀφ' οὗ καὶ Φίλιππος τοὺς
Θετταλοὺς πρώτους Ἑλλήνων ἐς εὔνοιαν ἑαυτῷ προσέλαβε.*

22 c. 1 Diod. 16, 14, 1–2. 15, 1

10 *ἦρος* M || tit. M Gemisti manu

Μετ' οὐ πολὺ δὲ τῆς Ἀλεξάνδρου ἀναιρέσεως καὶ ὁ ἱερὸς κληθεὶς ἐν 2
τῇ Ἑλλάδι συνέστη πόλεμος. συνέστη δὲ Φωκέων κατειληφότων τὸ ἱερὸν
τὸ ἐν Δελφοῖς διὰ Φιλομήλου, ὃς στρατηγὸς σφίσιν ἐψήφιστο αὐτοκρά-
τωρ, καὶ καταλαβὼν τὸ ἱερὸν Δελφῶν τε ἀπεκτονὼς τοὺς ἀντιστάντας,
ἔχων στρατιώτας Φωκέων τὲ αὐτῶν μοῖραν καὶ ξένους μισθοφόρους, τοῦ
ἱεροῦ ἐκράτει. πρὸς ὃ κινηθέντες Λοκρῶν πρῶτον οἱ πλησιόχωροι, 2
ἔπειτα καὶ Θηβαῖοι — οἳ καὶ μάλιστα προύστησαν τοῦ πολέμου τούτου —
ἐπολέμουν Φωκεῦσι, συλλαμβανόντων τοῦ πολέμου αὐτοῖς μὲν Θηβαίοις
Λοκρῶν ἀμφοτέρων καὶ Δωριέων καὶ Ἐνιάνων καὶ Ἀθαμάνων καὶ Δο-
λόπων καὶ Θετταλῶν τῶν πλείστων, τοῖς δὲ Φωκεῦσι Λακεδαιμονίων τὲ
καὶ Ἀχαιῶν τῶν ἐν Πελοποννήσῳ καὶ Ἀθηναίων. Φιλόμηλος μὲν οὖν τὰ 3
μὲν πρῶτα ἐκράτει τῷ πολέμῳ, ὕστερον δὲ Θηβαίων φιλοτιμότερον πρὸς
αὐτὸν ἠγωνισμένων ἡττήθη τὲ καὶ περισχόντων αὐτὸν τῶν πολεμίων ἔν
τινι ἀποκρήμνῳ χωρίῳ, ἵνα μὴ ζωγρίᾳ ἁλῷ, κατεκρήμνισεν αὑτόν, ὁ δὲ
τὰ δευτερεῖα τῆς στρατηγίας ἔχων Ὀνόμαρχος, τὴν ἡγεμονίαν διαδεδεγ-
μένος, ἀνελάμβανε τοὺς ἀπὸ τῆς τροπῆς.

Ἅμα δὲ τούτοις πραττομένοις καὶ Φίλιππος ὁ Μακεδόνων βασιλεὺς 3
Μεθώνην μὲν ἐκπολιορκήσας καὶ διαρπάσας κατέσκαψε, Παγασὰς
δ' ἑλὼν ὑπήκοον ἑαυτῷ τὴν πόλιν κατεῖχε. Φωκεῦσι δὲ βουλευομένοις 2
μετὰ τῶν συμμάχων περὶ τοῦ πολέμου ἔδοξε μὴ μεθιέναι τὸ ἱερόν, καὶ
δὴ Ὀνόμαρχον στρατηγὸν αὐτοκράτορα ἑλόμενοι εἴχοντο τοῦ πολέμου.
Φιλόμηλος μὲν οὖν τῶν ἱερῶν χρημάτων οὐχ ἥψατο, ἀλλὰ τοὺς Δελφοὺς 3
μόνον χρήματα ἐς τὸν πόλεμον ἐπράξατο. οὗτος δ' Ὀνόμαρχος, τοῖς
ἱεροῖς χρήμασι χρησάμενος, μισθοφόρων τὲ ἤθροισε πλῆθος πολύ,
ὑπερβάλλων τὴν ἐπὶ Φιλομήλου στρατιάν, καὶ διαφθείρων δώροις τοὺς
τῶν πόλεων καὶ ἐθνῶν προεστῶτας, τοὺς μὲν ἔπειθε συλλαμβάνειν
ἑαυτῷ, τοὺς δ' ἡσυχίαν ἄγειν· Θετταλοὺς γοῦν, τῶν Θηβαίοις συμμαχούν-
των τοὺς ἀξιολογωτάτους, ἔπεισε τέως ἡσυχίαν ἄγειν. ἀνῄρει δὲ καὶ 4
Φωκέων τοὺς ἐναντιουμένους συλλαμβάνων τάς τε οὐσίας ἐδήμευεν. ἐς
δὲ τὴν πολεμίαν ἐμβαλὼν Θρόνιον μὲν τῆς Ὀπουντίας Λοκρίδος ἐκπολιορ-
κήσας ἐξηνδραποδίσατο, Ἀμφισσέας δὲ τῆς ἑτέρας Λοκρίδος κατα-
πληξάμενος ὑπέταξεν ἑαυτῷ· εἷλε δὲ καὶ Ὀρχομενὸν τῆς Βοιωτίας.
Χαιρώνειαν δὲ πολιορκῶν, ἐπιβοηθησάντων τῶν Θηβαίων, ἄπρακτος
ἐπανῆλθεν ἐς τὴν οἰκείαν.

1 c. 2 Diod. 16, 23, 1. 24, 1–4. 25, 1. 29, 1. 30, 3–31, 5 || 17 c. 3 Diod. 16, 31, 6. 32, 2–4. 33, 2–4 || 22 Diod. 16, 28, 2. 56, 5; contra 30, 1

9 *ἐνιάνων* M; forma *Ἐνιᾶνες* etiam in Eustath. Il. p. 335, 10 occurrit (*Ἐνιῆνες* *B* 749, cf. Herod. 7, 132, 1 al.) *Αἰνιᾶνες* Diod. ed. || 18 *παγασὰς* M unde et Diod. ed. *Πάγας* Diod. codd.

4 *Κατὰ δὲ τοὺς αὐτοὺς χρόνους καὶ Ἀργείοις πρὸς Λακεδαιμονίους
συνέστη πόλεμος, καὶ γενομένης μάχης περὶ πόλιν Ὀρνεὰς ἐνίκων
Λακεδαιμόνιοι, καὶ τὰς Ὀρνεὰς ἐκπολιορκήσαντες ἐπανῆλθον οἴκαδε.*
2 *Χάρης δὲ ὁ τῶν Ἀθηναίων στρατηγὸς εἰσπλεύσας ἐς Ἑλλήσποντον καὶ
Σηστὸν πόλιν ἑλὼν τοὺς μὲν ἡβῶντας ἀπέσφαξε, τοὺς δ' ἄλλους ἐξηνδρα-*
3 *ποδίσατο. Κερσοβλέπτου δὲ τοῦ Κότυος διὰ τὴν πρὸς μὲν Φίλιππον
ἀλλοτριότητα, πρὸς δ' Ἀθηναίους φιλίαν ἐγχειρίσαντος Ἀθηναίοις τὰς ἐν
Χερρονήσῳ πόλεις πλὴν Καρδίας, ἀπέστειλεν ὁ δῆμος κληρούχους ἐς τὰς*
4 *πόλεις. μετὰ δὲ ταῦτα Λυκόφρονος τοῦ Φερῶν τυράννου ὑπό τε Θετταλῶν
καὶ Φιλίππου πολεμουμένου καί, ἐπειδὴ ἡττᾶτο τῷ πολέμῳ, βοήθειαν
παρὰ Φωκέων μεταπεμψαμένου, ἧκε Φάυλος ὁ Ὀνομάρχου ἀδελφὸς μετὰ
στρατιωτῶν ἑπτακισχιλίων, οὕσπερ Φίλιππος μάχῃ νικήσας ἀπήλασεν ἐκ
τῆς Θετταλίας.*

5 *Μετὰ δὲ τοῦτο Ὀνόμαρχος μετὰ πάσης τῆς δυνάμεως ἀφικόμενος ἐπὶ
τὴν τοῦ τυράννου βοήθειαν, καὶ Φίλιππον καὶ Θετταλοὺς δυσὶ νικήσας
μάχαις, ἐξέβαλε Φίλιππον ἐκ τῆς Θετταλίας· στρατεύσας δὲ καὶ ἐς
Βοιωτίαν καὶ μάχῃ νικήσας τοὺς Βοιωτοὺς εἷλε καὶ πόλιν Κορώνειαν.*
2 *ἐπεὶ δὲ Φίλιππος ἧκεν αὖθις ἐς Θετταλίαν παρασκευῇ μείζονι καὶ τοὺς
Θετταλοὺς συνίστη ἐπὶ τὸν τύραννον, ὅ τε τύραννος τὴν βοήθειαν αὖθις
παρὰ Φωκέων μετεπέμπετο, ἀφίκετο καὶ πάλιν Ὀνόμαρχος μὲν πεζῇ,
Χάρης δ' ὁ Ἀθηναίων στρατηγὸς κατὰ τὸ συμμαχικὸν ἐκ θαλάττης.*
3 *ἀλλ' οὗτος μὲν οὐδὲν τοῖς Φωκεῦσι χρήσιμος ἐγένετο· Φίλιππος γὰρ μετὰ
τῶν Θετταλῶν πεζομαχίᾳ νικήσας τοὺς Φωκέας, καταφεύγοντας ἐπὶ
θάλαττάν τε καὶ τὰς Ἀττικὰς ναῦς παμπόλλους ἀνεῖλε, καὶ οὓς δὲ ζωγρίᾳ
εἷλεν ὡς ἱεροσύλους κατεπόντωσεν. ἀνεσκολόπισε δ' ἑλὼν καὶ τὸν*
4 *στρατηγὸν Ὀνόμαρχον. οὗ δὴ οἰχομένου τὴν μὲν τῶν Φωκέων ἡγεμονίαν
διεδέξατο ὁ ἀδελφὸς Φάυλος, καὶ διορθούμενος τὴν συμφορὰν μισθοφόρων
τε ἤθροιζε πλῆθος, αὔξων τοὺς εἰωθότας μισθούς, καὶ βοήθειαν παρὰ
τῶν συμμάχων μετεπέμπετο.*

6 *Ὀλυμπιὰς δ' ἤχθη ἑβδόμη καὶ ἑκατοστή. καὶ Λυκόφρων ὁ Φεραίων
τύραννος, συμμάχων ἔρημος μετὰ τὴν Ὀνομάρχου τελευτὴν λελειμμένος,
τὴν μὲν πόλιν παρέδωκε Φιλίππῳ, αὐτὸς δ' ὑπόσπονδος μετὰ μισθοφόρων
δισχιλίων παρὰ Φάυλον ἀφίκετο καὶ συνεμάχει τοῖς Φωκεῦσιν. ἀφιγμένοι
δ' ἦσαν τοῖς Φωκεῦσι καὶ παρὰ μὲν Λακεδαιμονίων χίλιοι στρατιῶται,
παρὰ δ' Ἀχαιῶν δισχίλιοι· ἐκ δ' Ἀθηνῶν ἱππεῖς μὲν τετρακόσιοι, πεζοὶ*

1 c. 4 Diod. 16, 34, 3–4. 35, 1 || **14** c. 5, 1–3 Diod. 16, 35, 2–6. 61, 2 || **26** c. 5, 4 Diod. 16, 36, 1 || **30** c. 6 Diod. 16, 37, 1. 3–6. 38

11 *φαῦλος* M cum Diod. cod. X (*φάυλος* PV), cf. etiam Paus. 10, 2, 6 *Φάυλλος* Diod. cd. || **25** *καπεπόντωσεν* M

δὲ πεντακισχίλιοι, ὧν ἐστρατήγει Ναυσικλῆς. Φάυλος μέντοι τὰ μὲν 2
πρῶτα οὐκ εὐτύχει τῷ πολέμῳ· περί τε γὰρ Ὀρχομενὸν στρατεύσας
ἡττήθη μάχῃ ὑπὸ Βοιωτῶν καὶ περὶ Κηφισὸν ποταμὸν αὖθις καὶ αὖθις
περὶ Κορώνειαν. ἐπεί γε μὴν Φίλιππος, διοικησάμενος καὶ καταστήσας τὰ 3
κατὰ Θετταλίαν, ἧει διὰ Πυλῶν, πολεμήσων καὶ οὗτος τοῖς Φωκεῦσιν —
οὐ γὰρ δὴ οὐδὲ μεγάλας ὑπὸ Βοιωτῶν ἥττηντο ἥττας —, καὶ ἔπειτα
κωλυθεὶς ὑπ' Ἀθηναίων μὴ παρελθεῖν εἴσω Πυλῶν, ἐκεῖ φρουρούντων
τὰς παρόδους, ἀνεχώρησεν ἐς Μακεδονίαν, ὁ Φάυλος στρατεύσας ἐπὶ
Λοκροὺς τοὺς Ἐπικνημιδίους, οἵπερ τῆς Ὀπουντίας εἰσὶ Λοκρίδος μοῖρα,
τὰς μὲν ἄλλας αὐτῶν εἷλεν ἁπάσας πόλεις, Ἄρυκαν δὲ διὰ προδοσίας
νυκτὸς ἑλὼν πάλιν ἐξέπεσεν, οὐκ ἐλάττους διακοσίων τῶν στρατιωτῶν
ἀποβαλών. ἐπεὶ δ' αὐτῷ στρατοπεδεύοντι περὶ Ἄβας οἱ Βοιωτοὶ νυκτὸς 4
ἐπιθέμενοι οὐκ ὀλίγους ἀπέκτειναν καὶ ἐπαρθέντες τῷ κατορθώματι, ἐς
τὴν Φωκέων ἐμβαλόντες χώραν, λείαν ἔλαβον πολλήν, ἐπανιοῦσι καὶ τῇ
Ἀρυκαίων πόλει βοηθοῦσι πολιορκουμένῃ ὁ Φάυλος ἐπιφανεὶς τοὺς μὲν
ἐτρέψατο, τὴν δὲ πόλιν ἑλὼν διήρπασέ τε καὶ κατέσκαψε. μετὰ δὲ ταῦτα 5
ἐς νόσον φθισικὴν μακρὰν ἐμπεπτωκὼς ἐτελεύτησε, τῆς στρατηγίας
διάδοχον Φάλαικον τὸν Ὀνομάρχου υἱὸν καταλιπών, ἀντίπαιδα τὴν
ἡλικίαν ὄντα, σύμβουλον δ' αὐτῷ Μνασέαν τῶν φίλων ἕνα παρακαταστή-
σας. ἀλλὰ τούτῳ μὲν τῷ Μνασέᾳ μετ' οὐ πολὺ οἱ Βοιωτοὶ νυκτὸς ἐπιθέ-
μενοι, αὐτόν τε ἀπέκτειναν καὶ τῶν στρατιωτῶν ἐς διακοσίους· μετὰ δὲ
καὶ ἱππομαχίας περὶ Χαιρώνειαν γενομένης ὁ Φάλαικος ἡττηθεὶς ἀπέβαλε
τῶν ἱππέων οὐκ ὀλίγους.

Περὶ δὲ τοὺς αὐτοὺς χρόνους καὶ κατὰ Πελοπόννησον ταραχαί τε 7
ἐγένοντο καὶ κινήσεις οὐ μικραί. Λακεδαιμόνιοι γὰρ πρὸς Μεγαλοπολίτας
διαφερόμενοι τὴν χώραν αὐτῶν κατέδραμον, Ἀρχιδάμου τοῦ βασιλέως
ἡγουμένου· Μεγαλοπολῖται δέ, καθ' ἑαυτοὺς οὐκ ὄντες ἀξιόμαχοι,
βοήθειαν παρὰ τῶν συμμάχων μετεπέμψαντο. Ἀργεῖοι μὲν οὖν καὶ 2
Σικυώνιοι καὶ Μεσσήνιοι κατὰ τάχος τῷ πλείονι σφῶν μέρει ἐβοήθησαν·
Θηβαῖοι δὲ ἀπέστειλαν πεζοὺς μὲν τετρακισχιλίους, ἱππέας δὲ πεντακο-
σίους, Κηφισίωνα ἐπιστήσαντες στρατηγόν. Μεγαλοπολῖται μὲν οὖν μετὰ 3
τῶν συμμάχων περὶ τὰς πηγὰς τοῦ Ἀλφειοῦ ποταμοῦ κατεστρατοπέδευ-
σαν· Λακεδαιμόνιοι δὲ τρισχιλίους μὲν πεζοὺς παρὰ Φωκέων προσλαβόν-
τες, ἱππέας δὲ πεντήκοντα καὶ ἑκατὸν παρὰ Λυκόφρονος τοῦ τῆς τυραν-
νίδος τῆς ἐν Φεραῖς ἐκπεπτωκότος, κατεστρατοπέδευσαν περὶ Μαν-

24 c. 7 Diod. 16, 39, 1 – 7. 40, 1 – 2

10 ἄρυκαν M cum Diod. codd. PX (ἀρύκαν RVFM) Νάρυκα recte Diod. ed. || 15 ἀρυκαίων M cum Diod. codd. Ναρ- Diod. ed. || 33 τρεισχιλίους M

4 *τίνειαν. μετὰ δὲ ἐπὶ πόλιν Ὀρνεὰς τῆς Ἀργείας ἐλθόντες, ἔφθασαν αὐτὴν
ἐκπολιορκήσαντες πρὸ τῆς τῶν πολεμίων παρουσίας. τῶν δ' Ἀργείων
ἐπεξελθόντων μάχην συνάψαντες ἐνίκησαν. τῶν δὲ Θηβαίων μετὰ τῶν
συμμάχων ἐπιφανέντων καὶ ὄντων τῷ πλήθει διπλασίων, μάχη τε
συνέστη κρατερὰ καὶ τῆς νίκης ἀμφιδόξου γενομένης οἱ μὲν Ἀργεῖοι καὶ
οἱ σύμμαχοι εἰς τὰς οἰκείας ἐπανῆλθον πόλεις· Λακεδαιμόνιοι δ' ἐς τὴν
Ἀρκαδίαν ἐμβαλόντες καὶ πόλιν Ἑλισοῦντα κατὰ κράτος ἑλόντες καὶ*
5 *διαρπάσαντες ἐπανῆλθον ἐς τὴν Σπάρτην. μετὰ δέ τινα χρόνον οἱ Θηβαῖοι
μετὰ τῶν συμμάχων καὶ ἅπαξ καὶ δὶς καὶ τρὶς τοῖς Λακεδαιμονίοις
συμβαλόντες ἐνίκησαν οὐ μεγάλας τινὰς νίκας· τὰ δὲ τελευταῖα τῶν
Λακεδαιμονίων ἀξίως λόγου νικησάντων, αἱ δυνάμεις ἀμφοτέρων ἐς τὰς
οἰκείας ἐπανῆλθον πόλεις. ἐπανῆλθον δὲ καὶ Θηβαῖοι ἐς τὴν Βοιωτίαν,*
6 *Λακεδαιμονίοις ἐκεχειρίας τινὸς πρὸς Μεγαλοπολίτας γεγονυίας. τῷ δὲ
πρὸς Φωκέας πολέμῳ κάμνοντες οἱ Θηβαῖοι καὶ χρημάτων ἀπορούμενοι
ἔπεμψαν ὡς τὸν Περσῶν βασιλέα, δεόμενοι χρήματα ἐς τὸν πόλεμον
προσπορίσαι σφίσιν· ὁ δ' αὐτοῖς τριακόσια τάλαντα ἀργυρίου ἐδωρήσατο.
ἐπράττετο μέντοι οὐδὲν λόγου ἄξιον οὔτ' ἀπὸ Θηβαίων ἐς Φωκέας
οὔτ' ἀπὸ Φωκέων ἐς Θηβαίους, ἀλλ' ὁ πόλεμος ἄλλως ἐμηκύνετο.*
8 *Βασιλεὺς δ' ὁ Περσῶν περὶ τούτους τοὺς χρόνους καὶ ἐπ' Αἴγυπτον
ἐστράτευσε. στρατεύων δ' ἐπ' Αἴγυπτον, εἷλεν ἐν τῇ παρόδῳ καὶ Σιδῶνα,
ἐν ταῖς ἀξίαις λόγου τῶν κατὰ τὴν Φοινίκην πόλεων, Τύρου μὲν οὐ πλεί-
ους διακοσίων σταδίων διέχουσαν ἐπὶ τὰ πρὸς ἕω, ἐνάμιλλον δ' αὐτῇ
οὖσαν ὅσα ἐς ἐμπορείαν τε καὶ τέχνας· αὕτη γὰρ οὐ πρὸ πολλοῦ ἀποστᾶσα
τοῖς Αἰγυπτίοις πάλαι ἀφεστηκόσι προσετέθη, καὶ σὺν αὐτῇ καὶ ἄλλαι συ-*
2 *χναὶ Φοινίκων πόλεις. εἷλε δὲ Σιδῶνα βασιλεὺς ὁ Περσῶν, Μέντορος
τοῦ Ῥοδίου προδόντος. οὗτος γὰρ παρὰ Νεκτανάβιδι τῷ Αἰγυπτίων βασι-
λεῖ στρατεύων, ἐπέμφθη Τέννῃ τῷ Σιδωνίων βασιλεῖ βοηθήσων, ἄγων
μισθοφόρους Ἕλληνας τετρακισχιλίους· ὁ δὲ δεξιὰν παρὰ βασιλέως τοῦ
Περσῶν λαβὼν διὰ θεραπόντων τῶν ἑαυτοῦ τοῦ πιστοτάτου, πείσας καὶ*
3 *Τέννην τὸν Σιδωνίων βασιλέα, κοινῇ τὴν πόλιν προύδοσαν. καὶ βασιλεὺς
ὁ Περσῶν Τέννην μὲν, ἐπεὶ τὴν πόλιν παρέλαβεν, ἀπέκτεινεν ὥσπερ καὶ
τοὺς ἄλλους ἅπαντας Σιδωνίους, Μέντορα δὲ διὰ τὸ δεξιὰν δοῦναι περιε-
ποίησε — μεγίστη γὰρ αὕτη παρὰ Πέρσαις πίστις — καὶ χρήσιμον*

19 c. 8 Diod. 16, 40, 3–5. 41, 1–4. 42, 2. 43, 2–4. 45, 1–6. 47, 4. 49, 7 || 21–22 Strab. 16, 2, 22. 24

7 *ἐλισοῦντα* M cum Diod. codd. PX (*ἐλισσ-* F) *Ἐλισσοῦντα* Diod. ed. || 21–23 *οὐ — πρὸ* ras. M || 22 *ἐνάμιλον* M || 26 *νεκτανάβιδι* M, cf. ad p. 2, 31 *Νεκτανεβώς* Diod. ed. || 28 *ὁ δὲ* scil. *Μέντωρ* M *Τέννης* recte Diod. ed., sed Diod. codd. *Τέννης Μέντωρ* vel *Μέντωρ* pro *Τέννης* hic illic habent

ἔσχεν ἐν ταῖς κατ' Αἴγυπτον πράξεσιν. οὕτω δ' ἑαλωκυίας τῆς Σιδῶνος
καὶ τετιμωρημένης ὠμῶς, καὶ αἵ ἄλλαι αἱ συναποστᾶσαι αὐτῇ Φοινίκων
πόλεις αὖθις τοῖς Πέρσαις ὑπήκοοι ἅπασαι ἐγένοντο.

Ἤδη δὲ καὶ ἡ παρὰ Ἑλλήνων ἀφῖκτο συμμαχία τῷ Περσῶν βασιλεῖ· 9
στρατεύων γὰρ βασιλεὺς Ὦχος ἐπ' Αἴγυπτον, πέμψας ᾔτει τοὺς Ἕλληνας
δοῦναί οἱ συμμαχίαν ἐπὶ τοὺς Αἰγυπτίους. Λακεδαιμόνιοι μὲν οὖν καὶ
Ἀθηναῖοι τὴν μὲν πρὸς αὐτὸν εἰρήνην ἔφασαν σῴζειν, συμμαχίαν δὲ οὐ
πέμψειν. Θηβαῖοι δὲ Λακράτη ἑλόμενοι στρατηγὸν ἀπέστειλαν μετὰ 2
χιλίων ὁπλιτῶν. Ἀργεῖοι δὲ τρισχιλίους ἀπέστειλαν στρατιώτας καὶ
στρατηγόν, ὃν καὶ βασιλεὺς ὀνομάσας ᾔτησε Νικόστρατον, ἄνδρα καὶ
βουλεύσασθαι ἀγαθὸν καὶ πρᾶξαι ὀξύν, ἔτι δὲ καὶ σώματος ῥώμῃ διαφέ-
ροντα, ὥστε καὶ φρονήματος ὑπὸ τούτων ἐμπιπλάμενον μιμούμενόν τε
τὸν Ἡρακλέα λεοντῆν τε φορεῖν καὶ ῥόπαλον κατὰ τὰς μάχας. ἀφίκοντο
δὲ καὶ παρὰ τῶν τὴν Ἀσίαν οἰκούντων Ἑλλήνων ἑξακισχίλιοι, ὥστε τοὺς
πάντας Ἕλληνας γενέσθαι μυρίους.

Βασιλεὺς μὲν οὖν ὁ Περσῶν σύν τε τούτοις καὶ τῇ ἄλλῃ πάσῃ ἑαυτοῦ 10
δυνάμει ἧκεν ἐπὶ Πηλούσιον τῆς Αἰγύπτου, ὅ ἐστι πρῶτον στόμα τὲ τοῦ
Νείλου ἀπ' Ἀσίας ἰόντι καὶ πόλις ἐπ' αὐτῷ. Νεκτάναβις δ' ὁ Αἰγυπτίων 2
βασιλεὺς ταύτην τὲ τὴν πόλιν μάλιστα καὶ τὰς ἄλλας ἁπάσας, καὶ μάλιστα
τὰς πρὸς τῇ πλευρᾷ τῇ πρὸς Ἀραβίαν, διώρυξί τε ὠχυρωκὼς ἦν καὶ
στρατιώταις συχνοῖς Αἰγυπτίων τὲ τῶν μαχίμων καὶ Ἑλλήνων μισθο-
φόρων καὶ Λιβύων. αὐτὸς δὲ Νεκτάναβις, ἔχων περὶ αὐτὸν τρισμυρίους
μὲν Αἰγυπτίων, Ἑλλήνων δὲ πεντακισχιλίους, Λιβύων δὲ πεντακοσίους καὶ
χιλίους, τὰς ἐπικαιροτάτας παρεφύλαττε τῶν εἰσβολῶν. ἐπεὶ δ' ἐπύθετο 3
μάχης πρὸ τοῦ Πηλουσίου γεγονυίας Κλεινίᾳ τῷ Κῴῳ, ἑνὶ τῶν παρ' ἑαυτῷ
μισθοφορούντων ξεναγῶν, πρὸς Νικόστρατον τῶν Ἀργείων ἡγούμενον,
αὐτόν τε τὸν Κλεινίαν πεσεῖν καὶ σὺν αὐτῷ συχνοὺς τῶν ἰδίων, δείσας
μὴ τοῦ Πηλουσίου ἁλόντος ἐπὶ Μέμφιν βασιλεὺς Ὦχος χωρήσῃ, ᾤχετο
ἐκεῖ μετὰ τῶν περὶ αὐτὸν στρατιωτῶν, ταύτην μάλιστα τὴν πόλιν περι-
ποιησόμενος, βασίλειον οὖσαν συμπάσης Αἰγύπτου. ἐντεῦθεν πρῶτοι 4
μὲν οἱ τὸ Πηλούσιον φρουροῦντες στρατιῶται, ἔπειτα καὶ οἱ τὰς ἄλλας
ἁπάσας Αἰγύπτου πόλεις, πυθόμενοι τὴν Νεκτανάβιδος ἐς Μέμφιν
ἀναχώρησιν, προυδίδοσαν τὰς πόλεις τοῖς Πέρσαις, ἄλλως τε καὶ Μέντορος
διαδόντος λόγον, ὡς βασιλεὺς ὁ μέγας τοῖς μὲν ἑκοῦσι τὰς πόλεις παρα-
διδοῦσι φιλανθρώπως χρήσεσθαι διέγνωκε, τοῖς δὲ βίᾳ κρατηθεῖσι τὴν
αὐτὴν δίκην ἐποίσειν ἥνπερ καὶ τοῖς Σιδωνίοις. ὑπὸ γὰρ τούτου τοῦ 5

4 c. 9 Diod. 16, 44, 1–4. 46, 4 || 16 c. 10 Diod. 16, 46, 4. 6. 47, 5–7. 48, 3. 5–7. 49, 2–3. 7–8. 51, 1

25 (cf. 27) κλεινία M Κλείνιος Diod. codd. ed.

λόγου αἱ πόλεις ὑπό τε Αἰγυπτίων καὶ Ἑλλήνων φρουρούμεναι, ἑκατέρων
τοὺς ἑτέρους φθάνειν ἁμιλλωμένων διὰ σφῶν αὐτῶν τὴν παράδοσιν
γίγνεσθαι, προυδίδοντο. ἃ πυθόμενος Νεκτάναβις καὶ Μέμφιν ἀπολι-
πὼν ᾤχετο ἐς Αἰθιοπίαν συνεσκευασμένος, ὅσα οἷος τ' ἦν φέρειν τῶν
χρημάτων.
11 Καὶ βασιλεὺς Ὦχος στρατεύσας ἐπ' Αἴγυπτον καὶ πεζῷ καὶ ναυσὶν, οὐ
σὺν πολλῷ πόνῳ Μέμφιν τὲ αὐτὴν παραγενόμενος καὶ Αἴγυπτον ὅλην
παρέλαβεν· ὅτι γὰρ μὴ ἐν Πηλουσίῳ τῇ πολιορκίᾳ οὐ πολλούς τινας
2 ἀπέβαλε τῶν ἰδίων, τήν γε ἄλλην Αἴγυπτον ὅλην ἀναιμωτὶ παρέλαβεν.
ἀπώλεσε δέ τι τῆς στρατιᾶς μόριον καὶ ἐν τοῖς Βαράθροις καλουμένοις,
ἅ ἐστιν ἐν τῇ εἰσόδῳ τῇ Αἰγύπτου ἀπ' Ἀσίας ἰόντι, περὶ μεγάλην τινὰ
λίμνην ἀφανῆ τοῖς πολλοῖς διὰ τὸ ψάμμῳ καλύπτεσθαι παραπλησίᾳ τῇ
τῆς γείτονος χώρας ψάμμῳ, ἐς ἃ οἱ ἐμπίπτοντες διαφθείρονται καταδυό-
μενοι. ἐνταῦθα οὖν καὶ τῆς στρατιᾶς τῆς Περσικῆς μόριόν τι ἐν τῇ
3 παρόδῳ ἐμπεπτωκὸς ὑπὸ ἀπειρίας τῶν τόπων διεφθάρη. βασιλεὺς
δ' Ὦχος, ἐπεὶ Αἰγύπτου ἐκράτησε, τῶν μὲν λόγου ἀξίων πόλεων περιελὼν
τὰ τείχη, τὰ δ' ἱερὰ συλήσας καὶ τὸν Ἆπιν καταθύσας τὲ καὶ εὐωχηθεὶς
μετὰ τῶν φίλων, ἐς τὰ σφέτερα ἐπανῆκε βασίλεια, Αἰγύπτου συμπάσης
4 σατράπην Φερενδάτην ἀπολιπών. ἀπήνεγκε δὲ καὶ τὰς ἐκ τῶν ἀρχαίων
ἱερέων ἀναγραφάς, ἃς ὕστερον Βαγώας, μέγιστον παρὰ βασιλεῖ δυνάμενος,
πολλῶν χρημάτων ἀνελύτρωσε τοῖς τῶν Αἰγυπτίων ἱερεῦσι. δωρησάμενος
δὲ καὶ τοὺς Ἕλληνας βασιλεὺς Ὦχος ἀξίως λόγου ἀπέλυσεν ἐς τὰς
πατρίδας. καὶ τὰ μὲν κατ' Αἴγυπτον ταύτῃ ἔσχεν.
12 Ἐν δὲ τῇ Ἑλλάδι Φίλιππος ὁ Μακεδόνων βασιλεὺς στρατεύσας ἐπὶ τὰ
Χαλκιδικὰ πολίσματα, τὰ μὲν αὐτῶν πολιορκίᾳ ἑλὼν κατέσκαψε, τὰ δὲ
καταπληξάμενος ὑπήκοα ἑαυτῷ ἐποιήσατο. παρελθὼν δὲ καὶ ἐς Θεττα-
2 λίαν Πυθόλαον Φερῶν δυναστεύοντα ἐξέβαλεν. αὖθις δ' ἐπὶ τὴν Χαλκιδι-
κὴν παρελθὼν τῶν ἐκεῖ πόλεων τῇ μεγίστῃ ἐπέθετο Ὀλύνθῳ. ὀλυμπιὰς
δ' ἦν ὀγδόη καὶ ἑκατοστὴ, ὅτε Ὀλύνθῳ Φίλιππος ἐπέθετο. καὶ δὴ τὰ μὲν
πρῶτα δυοῖν νικήσας μάχαιν ἐς πολιορκίαν τοὺς Ὀλυνθίους συνέκλεισεν·
ἔπειτα τῇ πόλει προσβολὰς πυκνὰς ποιούμενος συχνοὺς ἀπέβαλε τῶν
ἰδίων· τελευτῶν δὲ Εὐθυκράτη καὶ Λασθένη χρήμασι διαφθείρας τοὺς
τῶν Ὀλυνθίων προεστηκότας, διὰ τούτων τὴν πόλιν προδοθεῖσαν εἷλεν.
ἑλὼν δὲ καὶ ἐξανδραποδισάμενος ἐλαφυροπώλησε. καὶ ταῦτα μὲν τὰ κατὰ
τὴν Ὄλυνθον.

6 c. 11 Diod. 16, 46, 4–51 || 10–11 Diod. 1, 30, 4–9 || 15 supra 1, 7, 4 || 24 c. 12 Diod. 16, 52, 9. 53, 1–3

2 ἁμιλλωμένων M || 20 βαγώας M cum Diod. plerisque codd. ed. Βαγῶας Diod. cod. P || 27 πυθόλαον M Πειθόλαον Diod. ed.

Βοιωτοὶ δὲ στρατεύσαντες ἐς τὴν Φωκίδα καὶ περὶ Ὑάμπολιν συμπλα- 13
κέντες τοῖς Φωκεῦσιν ἐνίκησαν. αὖθις δὲ περὶ Κορώνειαν συμπλοκῆς
γενομένης ἡττήθησαν οἱ Βοιωτοὶ καὶ συχνοὺς ἀπέβαλον. ἡττήθησαν δὲ
καὶ αὖθις οἱ Βοιωτοὶ ἐπιθεμένων αὐτοῖς τῶν Φωκέων ἐπιστρατεύσασι
κατὰ τῶν Βοιωτικῶν πόλεων ὧνπερ οἱ Φωκεῖς κατεῖχον. μετὰ δὲ ταῦτα 2
Φάλαικος ὁ Φωκέων στρατηγὸς διαβληθεὶς ὅτι συχνὰ τῶν ἱερῶν χρημά-
των κέκλοφεν, αὐτὸς μὲν τέως ἐξέπεσε τῆς ἀρχῆς, ἀντὶ δὲ τούτου τριῶν
αἱρεθέντων στρατηγῶν, Δεινοκράτους καὶ Καλλίου καὶ Σωφάνους,
ζήτησις τῶν ἱερῶν χρημάτων ἐγίγνετο. καὶ δὴ λόγον οἱ διῳκηκότες 3
ἀπαιτούμενοι, ἐπεὶ οὐκ εἶχον ἀποδοῦναι, στρεβλωθέντες ὑπὸ τῶν στρατη-
γῶν καὶ τὰ σῳζόμενά τε καὶ περιόντα ἐκ τῆς κλοπῆς τῶν χρημάτων
ἀποδόντες ἐθανατώθησαν. Φάλαικος δ' ἐπεὶ οὐκ ἠλέγχθη ἰδίᾳ τὶ κεκλοφὼς
τῶν χρημάτων, ἀλλ' ἐς τὴν στρατιὰν ἅπαντα ἀνηλωκώς, ἐς τὴν στρατηγίαν
αὖθις δὴ ἀποκατέστη.

Ἐπεὶ δὲ δὴ τρεῖς ἐν Βοιωτίᾳ τῶν Φωκέων ὠχυρωμένας κατεχόντων 14
πόλεις, Ὀρχομενὸν καὶ Κορώνειαν καὶ Κορσιὰς, κἀκ τούτων ὁρμωμένων
κατατρεχόντων τὲ τὴν ἄλλην Βοιωτίαν, κἀν ταῖς μάχαις καὶ συμπλοκαῖς
τῶν μισθοφόρων τῷ πλήθει περιγιγνομένων, οἱ Θηβαῖοι ἔκαμνον ἤδη
στρατιωτῶν τὲ πολλῶν ἀπωλείᾳ καὶ ἀπορίᾳ χρημάτων, Φίλιππον πρέσβεις
πέμψαντες ἐκάλουν βοηθήσοντα. ὃ δ' ἡσθεὶς αὐτῶν τῇ ταπεινώσει τῇ τε 2
ἀπὸ τοῦ Λευκτρικοῦ φρονήματος ἀποπτώσει προθυμότατα ἐπηγγείλατο
βοηθήσειν, ἅμα καὶ μεγάλην οἱ οἴσειν νομίσας δόξαν, εἰ δι' αὐτοῦ τηλικοῦ-
τος τὲ καὶ τοιοῦτος πόλεμος καταλελύσεται· καὶ δὴ ἐπεὶ ἐς Θρᾴκην
ἔτυχεν ἐστρατευκὼς Κερσοβλέπτῃ πολεμῶν, Ἀθηναίων φίλῳ ὄντι, μείνας
ἐκεῖ ἕως τῶν ἐκεῖ τὰ ἐπικαιρότατα κατεστρέψατο, ἐπανῆκεν ἐς Μακεδο-
νίαν. οὗ τοῖς Ἀθηναίοις ἐντυχὼν πρέσβεσιν ὑπὲρ τῆς εἰρήνης ἤδη τὸ 3
δεύτερον πρεσβεύουσι — προπεπρεσβεύκεσαν γὰρ ὑπὲρ τῆς αὐτῆς
εἰρήνης —, καὶ τὴν εἰρήνην ᾗ ἐβούλετο περάνας, οὐκ ἐμπεριειληφὼς ταῖς
συνθήκαις τοὺς Φωκέας παρεσκευάζετο ἐπὶ τὸν κατὰ Φωκέων πόλεμον.
ἀθροίσας οὖν ὡς τάχιστα τὴν στρατιὰν τὴν ἑαυτοῦ, καὶ παρελθὼν ἐς 4
Θετταλίαν συμπαραλαβών τε καὶ τοὺς Θετταλοὺς, πάνυ καὶ αὐτοὺς
προθύμους ὄντας ἐπὶ τὸν τοιοῦτον πόλεμον, παρῆν εἴσω Πυλῶν.

Φάλαικος δὲ ἔτυχε μὲν ἐν Νικαίᾳ διατρίβων μετὰ τῆς δυνάμεως, 15

1 c. 13 Diod. 16, 56, 1–5. 59, 2 || 15 c. 14, 1–2 Diod. 16, 58, 1–3 || 23 Demosth. 18, 27. 30 || 26 c. 14, 3 Demosth. 19; Aeschin. 2 al. || 28 Demosth. 19, 44. 174 || 30 c. 14, 4 Diod. 16, 59, 2 || 33 c. 15 Diod. 16, 59–60, 4

1 *ὑάμπολιν* M sicut Ptol. geogr. 3, 14, 19 et al., cf. etiam *ὑάν πολιν* Diod. codd. PXF *Ὑαν πόλιν* Diod. cod. R ed. || 16 *κορσιὰς* M cum Diod. codd. plerisque *Κορσίας* Diod. codd. PX ed.

αἰσθόμενος δὲ Φίλιππον θᾶττον ἢ προσεδόκησεν εἴσω Πυλῶν παρ-
εληλυθότα, πληγεὶς τῇ τε ὀξύτητι τῆς παρουσίας καὶ τῆς δυνάμεως τῷ
πλήθει, σπεισάμενος ἀπεχώρησεν ἐς Πελοπόννησον μετὰ τῶν μισθοφόρων
ὄντων ὀκτακισχιλίων. οἱ δὲ Φωκεῖς, ἔρημοι τῶν μισθοφόρων λελειμμένοι,
2 Φιλίππῳ παρέδωκαν αὐτούς. καὶ Φίλιππος ἄνευ μάχης ἐς δέκατον τοῦτον
ἔτος μηκυνθέντα τὸν πόλεμον κατέλυσεν· ἐπεὶ δὲ καὶ Λακεδαιμονίων
ὁπλῖται χίλιοι ᾖεσαν Φωκεῦσι βοηθήσοντες, Ἀρχιδάμου ἄγοντος τοῦ
3 βασιλέως, ὡς καθ' ὁδὸν ταῦτ' ἐπύθοντο, ἐπ' οἴκου ἀνεχώρησαν. Φίλιππος
δὲ τὸ τῶν Ἀμφικτυόνων συνέδριον καταγαγὼν τούτῳ τὴν περὶ τῶν
ὅλων διάγνωσιν ἐπέτρεψεν. ἔδοξεν οὖν τοῖς συνέδροις Φιλίππῳ μὲν καὶ
τοῖς ἀπογόνοις αὐτοῦ τῆς Ἀμφικτυονίας μεταδοῦναι, καὶ δύο ψήφω
4 ἔχειν ὢ πρότερον οἱ καταπεπολεμημένοι εἶχον Φωκεῖς. αὐτοῖς δὲ Φωκεῦσι
μὴ δὲ μίαν κοινωνίαν εἶναι τοῦ ἱεροῦ μὴ δὲ τοῦ Ἀμφικτυονικοῦ συνεδρίου,
περιελεῖν δ' αὐτῶν καὶ τριῶν τῶν ἐπικαιροτάτων πόλεων τὰ τείχη καὶ
κατασκάψαντας ἀναγκάσαι κατὰ κώμας οἰκεῖν· ἔχοντας δὲ τὴν χώραν τοὺς
Φωκέας φέρειν κατ' ἐνιαυτὸν τῷ θεῷ φόρον τάλαντα ἑξήκοντα, μέχρις
ἂν ἐκτίσωσι τὰ σεσυλημένα χρήματα, καὶ μὴ ἐξεῖναι αὐτοῖς μήτε ὅπλα
μήτε ἵππους ἔχειν, ἄχρις ἂν ἐκτίσωσι· πάμπολλα δ' εὑρέθη ὄντα τὰ
σεσυλημένα ἐς τὰς τῶν ξένων μισθοφορὰς, ἐν οἷς ἦσαν καὶ αἱ Κροίσου τοῦ
5 Λυδοῦ εἴκοσι καὶ ἑκατὸν πλίνθοι χρυσαῖ. διέταξαν δ' οἱ Ἀμφικτυόνες καὶ
τὰ περὶ τὴν τοῦ μαντείου καὶ ἱεροῦ ἐπιμέλειαν ᾗ μάλιστα ἔδοξεν αὐτοῖς
ἕξειν καλῶς, τιθέναι δὲ καὶ τὸν ἀγῶνα τῶν Πυθίων Φίλιππον μετὰ
6 Βοιωτῶν καὶ Θετταλῶν. μετὰ δὲ ταῦτα τὰ τοῖς Ἀμφικτυόσι δεδογμένα ὁ
βασιλεὺς Φίλιππος συγκαταστήσας καὶ ἀγαγὼν ἐς πέρας ἐπανῆλθεν ἐς
Μακεδονίαν, μεγάλην δόξαν ἐπί τε εὐσεβείᾳ καὶ συνέσει στρατηγικῇ
ἑαυτῷ περιπεποιημένος.

16 Φάλαικος δὲ τὸ μὲν πρῶτον κατὰ Πελοπόννησον πλανώμενος καὶ τοὺς
στρατιώτας τοῖς περιλελειμμένοις ἐκ τῶν σεσυλημένων χρημάτων
2 συνέχων, ἔπειτα ἐς Κρήτην διαβὰς κατέλαβε Λύκτον πόλιν. τοῖς δὲ
Λυκτίοις ἐκπεπτωκόσι τῆς πατρίδος οἱ Λακεδαιμόνιοι ταχὺ βοηθήσαντες
ἀνέσωσαν τὴν πατρίδα· ἔτυχον μὲν γὰρ Λακεδαιμόνιοι Ταραντίνοις
ἀπογόνοις οὖσιν ἑαυτῶν βοήθειαν παρεσκευακότες πέμπειν πολεμοῦσι
πρὸς Λευκανούς, ἐν τούτοις δ' ὄντων αὐτῶν οἱ Λύκτιοι ἀφικόμενοι
3 ἐδέοντο προτέροις ἐπαμῦναι σφίσι. πλεύσας οὖν Ἀρχίδαμος ἐς Κρήτην
ὁ βασιλεὺς — οὗτος γὰρ ἡγεῖτο τῆς ἐς Τάραντα παρεσκευασμένης

7 Demosth. 19, 77 || 18 Diod. 16, 56, 6 || 27 c. 16 Diod. 16, 61, 4. 62, 3–63. 64, 2

7 ὁπλίται M || 20 (cf. 23) ἀμφικτυόνες M secundum canonem Herodiani 2 p. 724, 10 Lentz et al. Ἀμφικτύονες Diod. ed.

βοηθείας — τοῖς μὲν Λυκτίοις ἀνέσωσε τὴν πόλιν ἐκβαλὼν Φάλαικον,
ἐκεῖθεν δ' ἐς Τάραντα πλεύσας καὶ Λευκανοῖς ὑπὲρ Ταραντίνων πολεμῶν,
ἔν τινι μάχῃ καλῶς ἠγωνισμένος ἀπέθανε· τὴν δὲ βασιλείαν Ἆγις ὁ υἱὸς
διεδέξατο. Φάλαικος δὲ ἐκπεσὼν τῆς Λύκτου Κυδωνίᾳ ἐπέθετο, ἣν 4
πολιορκῶν ἀπέθανεν, ὡς μὲν ἔνιοί φασι, κεραυνῷ βληθείς, ὡς δ' ἕτεροι,
ὑπὸ τῶν τινος ἑαυτοῦ μισθοφόρων, ᾧ τὶ προσεκεκρούκει, ἀποσφαγείς·
οἱ δὲ μισθοφόροι αὐτοῦ, ἄλλοι ἄλλοσε διασπαρέντες καὶ ἐν ἄλλαις ἄλλοι
μάχαις, οἱ πολλοὶ αὐτῶν διεφθάρησαν. λέγεται δὲ καὶ δύο ὅρμω τῶν 5
Πυθοῖ ἀνακειμένων γυναῖκε δύο περιθεμένω τῶν τινων ἐν Φωκεῦσιν
ἡγεμόνων, τὸν μὲν Ἐριφίλης γενόμενον, τὸν δ' ἕτερον Ἑλένης, τὴν μὲν τὸν
τῆς Ἑλένης περιθεμένην πεπορνευκέναι τὲ καὶ ἐς ὕβριν ἐκπεσεῖν, τὴν δὲ
τὸν τῆς Ἐριφίλης, ὑπὸ τοῦ παιδὸς μανέντος τῆς οἰκίας ἐμπρησθείσης,
καὶ αὐτὴν τῇ οἰκίᾳ ζῶσαν συγκαταφλεγῆναι. ταῦτα μὲν οὖν ἐς τοσοῦτον.

Φίλιππος δ' ἐκ Φωκίδος ἐς Μακεδονίαν ἐπανελθὼν κἀκεῖ οὐ πολὺν 17
χρόνον διαναπαύσας τὴν στρατιάν, ἐστράτευσεν ἐπ' Ἰλλυριοὺς μετὰ
πολλῆς δυνάμεως, καὶ πορθήσας αὐτῶν τὴν χώραν τῶν τε πολισμάτων
συχνὰ ἑλών, ἐπανῆλθεν ἐς τὴν Μακεδονίαν μετὰ λαφύρων οὐκ ὀλίγων.
ὀλυμπιὰς δ' ἦν ἐνάτη καὶ ἑκατοστή, ὅτ' ἐπ' Ἰλλυριοὺς Φίλιππος ἐστράτευ-
σεν. εἶτα καὶ ἐς Θετταλίαν παρελθὼν καὶ τἀκεῖ διορθωσάμενος, τούτους 2
τὲ ἐς τὴν συμμαχίαν ἑαυτῷ βεβαιοτέρους κατεστήσατο καὶ τοὺς τούτοις
πλησιοχώρους Ἕλληνας προσέλαβε. βουλόμενος δὲ καὶ τοὺς ἐφ' Ἑλλησπόν- 3
του Ἕλληνας προσαγαγέσθαι ᾤχετο ἐς Θρᾴκην, Κερσοβλέπτῃ αὖθις ὑπὲρ
τῶν ἐν Χερρονήσῳ Ἑλληνίδων πόλεων πολεμήσων, ἃς ἐκεῖνος ἐνοχλῶν
διετέλει. νικήσας δὲ μάχαις πλείοσι τοὺς Θρᾷκας αὐτοῖς μὲν δεκάτας
ἑαυτῷ τελεῖν ἐπέταξε, κτίσας καὶ ἐν τῶν τόπων τοῖς ἐπικαιροτάτοις
πόλεις ἐπιτειχίσματα τοῖς Θρᾳξί· τοὺς δ' ἐκεῖ Ἕλληνας καὶ μάλα ἑκόντας
ἐς συμμαχίαν προσηγάγετο, τό γε δὴ ὑπὸ Θρᾳκῶν μηκέτι βλάπτεσθαι διὰ
Φίλιππον περιγεγονὸς αὐτοῖς. μετὰ δὲ ταῦτα Ἀρύμβου τοῦ Μολοττῶν 4
βασιλέως τελευτήσαντος καὶ καταλιπόντος υἱὸν τὸν Πύρρου πατέρα
Αἰακίδην, τὴν ἀρχὴν οὐχ οὗτος ἀλλ' Ἀλέξανδρος ὁ Νεοπτολέμου ἀδελφὸς
ὢν Ὀλυμπιάδος διεδέξατο, Φιλίππου σπουδάσαντος.

Φίλιππος δ' ἀεὶ αὐξόμενος καὶ τοὺς Ἀθηναίους ὁρῶν ἐπιβουλεύοντας 18
αὐτοῦ τῇ αὐξήσει, καὶ αὐτὸς ἀντεπεβούλευεν αὐτοῖς. τὴν οὖν Εὔβοιαν

14 c. 17 Diod. 16, 69, 1. 7–8. 71, 1–2. 72, 1 || 32 c. 18, 1 Demosth. 18, 71; Diod. 16, 74, 1–2

10 et 12 ἐριφίλης M Ἐριφύλης Diod. ed. || 15–31 ordinem iuxta Gemisti ipsius notas restitui (cf. praef. p. VII sq.) ἐστράτευσεν — 22 προσαγαγέσθαι post 22–31 ᾤχετο — σπουδάσαντος habet M | α' ante ἐστράτευσεν M[s1] || 22 β' ante ᾤχετο M[s1] || 32 γ' ante φίλιππος M[s1]

σφετεριζόμενος, ὅπως ἔχῃ ἐπιτείχισμα ἐπὶ τὴν Ἀττικὴν, ἐν μὲν Ὠρεῷ
Φιλιστίδην τύραννον καθίστα, ἐν δ᾽ Ἐρετρίᾳ Κλείταρχον. κατέσκαπτε δὲ
καὶ τὸν παρὰ τὴν Χαλκίδα πορθμὸν, ὅπως ἦν αὐτοῦ ταῖς ναυσὶν — ἤδη
2 *γὰρ καὶ τῆς θαλάττης ἀνθήπτετο — πλοῦς ἐπὶ τὴν Ἀττικήν. τὸ γὰρ*
προτοῦ ὁ πορθμὸς οὗτος εὐρύτερος ἦν, ὥστε μὴ δὲ χαλεπῶς τὴν Εὔβοιαν
περιπλεῖσθαι· ἐν δὲ τῷ Πελοποννησίων καὶ Ἀθηναίων πολέμῳ μετὰ τὴν
Ἀθηναίων ἐν Σικελίᾳ κακοπραγίαν Εὐβοεῖς ἀποστάντες Ἀθηναίων, καὶ
ἔπειτα ὁρῶντες τοὺς Ἀθηναίους τὴν θάλατταν ἀναλαμβάνοντας καὶ ἤδη
καὶ ἰσχύοντας, παρακαλέσαντες καὶ τοὺς Βοιωτοὺς συλλαβέσθαι σφίσι
πρὸς τὸ ἔργον, συνέχωσαν τὸν πορθμὸν οὕτως, ὥστε μιᾷ τριήρει λιπεῖν
διάπλουν, καὶ τῷ διάπλῳ τούτῳ γέφυραν ἐπέθεσαν, Ἀθηναῖοι δὲ διακω-
3 *λύειν ἐπιχειρήσαντες τὸ ἔργον οὐχ οἷοι τε ἐγένοντο. τότε δὲ Φίλιππος*
κατέσκαπτεν αὖθις πέμψας τὸν πορθμὸν, ἀλλ᾽ οὔτε τοῦτο οἷος τε ἐγένετο
διανῦσαι, καὶ Κλείταρχον τὸν Ἐρετρίας τύραννον καθιστάμενον ὑπὸ
Φιλίππου Φωκίων ὁ Ἀθηναίων στρατηγὸς κατεπολέμησεν, ὥστε μὴ κατὰ
νοῦν χωρῆσαι Φιλίππῳ τὰ κατὰ τὴν Εὔβοιαν ταῦτα.
19 *Μετὰ δὲ ταῦτα Φίλιππος ἐπὶ Πείρινθον ἐστράτευσε τὴν ἐπὶ Θρᾴκης,*
οὐχ ἑαυτῷ προσέχουσαν ἀλλὰ πρὸς Ἀθηναίους ἀποκλίνουσαν. πολιορκῶν
οὖν τὴν πόλιν καὶ πάσας μηχανὰς προσάγων, ἐπέραινεν οὐδὲν, πρῶτον μὲν
τῶν Πειρινθίων γενναιότατα ἀμυνομένων, εἶτ᾽ ἐπειδὴ ἐκεῖνοι κατεπο-
νοῦντο ἤδη, Βυζαντίων τὲ ἀξίως λόγου βεβοηθηκότων καὶ ἔτι τῶν ἐκ
τῆς Ἀσίας σατραπῶν, προστεταγμένον σφίσιν ὑπὸ βασιλέως τοῦ μεγάλου,
2 *καὶ στρατιώτας καὶ ὅπλα καὶ σῖτον ἀπεσταλκότων. Φίλιππος δ᾽ οὐδὲν*
ἧττον ἐπέμενε πολιορκῶν· οὐδὲν δὲ περαίνων, ὀργιζόμενος τοῖς Βυζαντίοις
τοῖς ὑφ᾽ ἑαυτοῦ πολιορκουμένοις βοηθοῦσι, διελὼν διχῇ τὴν δύναμιν, τὴν
μὲν ἐπὶ τῆς τῆς Πειρίνθου ἀπέλιπε πολιορκίας, τῇ δ᾽ ἑτέρᾳ αὐτὸς ἐπὶ
Βυζάντιον ἐλθὼν ἐπολιόρκει κἀκείνην τὴν πόλιν καὶ σφόδρα ἐφόβησε,
3 *τῶν ἀρίστων αὐτῶν ἐν Πειρίνθῳ ἀπόντων. οὐδὲν μέντοι ἧττον ἤνυσε*
οὐδὲν, ἀλλὰ καὶ Ἀθηναίων ναυσὶν οὐκ ὀλίγαις τοῖς τε Βυζαντίοις καὶ
Πειρινθίοις βεβοηθηκότων, ἔτι δὲ Ῥοδίων καὶ Κῴων καὶ Χίων καί τινων
ἄλλων τῶν Ἑλλήνων βοήθειαν ταῖς αὐταῖς πόλεσιν ἀπεσταλκότων,
ἀπογνοὺς Φίλιππος τὴν τῶν πόλεων ἅλωσιν, ἔλυσέ τε τὴν πολιορκίαν
καὶ Ἀθηναίοις τὲ καὶ τοῖς ἄλλοις Ἕλλησιν ἐσπείσατο. ὀλυμπιὰς δ᾽ ἦν
δεκάτη καὶ ἑκατοστὴ, ὅτε Φίλιππος τὴν Βυζαντίων τὲ καὶ Πειρινθίων

2 Demosth. 10, 8 || 4 c. 18, 2 Diod. 13, 47, 3–5 || 12 c. 18, 3 Demosth. 9, 33. 58; Diod. 16, 74, 1 || 17 c. 19, 1–3 Diod. 16, 74, 2–4. 75, 1–3. 76, 3–4. 77, 1–3

17 *πείρινθον*, 20 *πειρινθίων* ubique M *Περ-* Diod. ed. (de forma vd. H. Usener, RhM 23, 1868, 364sq.) || 28–29 *ἧττον — ὀλίγαις* ras. M

ἔλυσε πολιορκίαν. τοῦ δ᾽ αὐτοῦ ἔτους καὶ Τιμολέων ὁ Κορίνθιος ἐν 4
Σικελίᾳ Καρχηδονίους ἐνίκησε μεμαχημένος, ὀλίγοις στρατιώταις τοῖς
ἑαυτοῦ πολλαπλασίας δυνάμεως περιγενόμενος.

Φίλιππος δ᾽ ἐς Μακεδονίαν ἐπανελθὼν ἐσκοπεῖτο πάντα τρόπον, 20
ὅπως τῆς Ἑλλάδος ἡγεμὼν καταστῇ. εὕρισκεν οὖν οὐκ ἂν ἄλλως τοῦτο
οἱ ἐσόμενον ἢ εἰ Ἀθηναίους ὁτῳδήποτε τρόπῳ προσαγάγηται· τούτους
γὰρ εἶναι τοὺς μάλιστα ἐνισταμένους αὐτῷ πρὸς τὴν ἡγεμονίαν. ἔδοξεν 2
οὖν αὐτῷ ἄριστ᾽ ἂν διαπράξασθαι ὃ βούλοιτο, εἰ μεγάλῃ δυνάμει πεζῇ
ἐπιστὰς τοῖς Ἀθηναίοις καταπλήξηται. καὶ δὴ ἠθροικὼς σύμπασαν τὴν
δύναμιν καὶ εἴσω Πυλῶν ὡς οἷος τ᾽ ἦν θᾶττον παρεληλυθὼς καταλαμβάνει
Ἐλάτειαν. Ἀθηναίους δὲ ἐθορύβησε μὲν πρῶτον ἡ Ἐλατείας κατάληψις, 3
ἔπειτ᾽ ἔδοξεν αὐτοῖς, Δημοσθένους συμβουλεύσαντος, Θηβαίους πειρᾶσαι
ἀποστῆσαι μὲν τῆς Φιλίππου συμμαχίας, σφίσι δὲ προσθέσθαι ποιῆσαι.
ὅπερ καὶ ἐγένετο, Δημοσθένους αὖ Θήβῃσι πρεσβεύσαντος. οὐδὲν μέντοι 4
ἧττον Φίλιππος καὶ ἀμφοῖν, Ἀθηναίοις τὲ δὴ καὶ Θηβαίοις ἐς ταυτὸ
συνελθοῦσι, μαχεσάμενος περὶ Χαιρώνειαν ἐκράτησε. καὶ εὐθὺς μὲν
Θηβαίων τὴν Καδμείαν φρουρᾷ κατέσχεν· Ἀθηναίοις δὲ διαπρεσβευσα-
μένοις καὶ τὴν ἡγεμονίαν συγχωρήσασι συνέγνω. ἐθανάτωσαν δ᾽ Ἀθηναῖοι 5
καὶ Λυσικλέα τὸν στρατηγόν, Λυκούργου κατηγορήσαντος· οὗτος γὰρ
Λυκοῦργος, μέγιστον ἔχων τῶν πολιτευομένων ἀξίωμα δι᾽ ἀρετὴν βίου,
πικρότατος ἦν τῶν ἁμαρτανόντων κατήγορος. καὶ γνοίη ἄν τις αὐτοῦ 6
τὴν ἐν τοῖς λόγοις ἀξίαν τὲ ἅμα καὶ πικρίαν ἐξ ὧν Λυσικλέους κατηγορῶν
λέγει· 'ἐστρατήγεις, ὦ Λυσίκλεις, καὶ χιλίων μὲν πολιτῶν τετελευτηκό-
των, δισχιλίων δ᾽ αἰχμαλώτων γεγονότων, τροπαίου δὲ κατὰ τῆς πόλεως
ἑστηκότος, τῆς δ᾽ Ἑλλάδος ἁπάσης δουλευούσης, καὶ τούτων ἁπάντων
γεγενημένων σοῦ ἡγουμένου καὶ στρατηγοῦντος, τολμᾷς ζῆν καὶ τὸ τοῦ
ἡλίου φῶς ὁρᾶν καὶ εἰς τὴν ἀγορὰν ἐμβάλλειν ὑπόμνημα γεγονὼς αἰσχύνης
καὶ ὀνείδους τῇ πατρίδι;' συνέβη δὲ τῆς αὐτῆς ἡμέρας, ᾗ ἡ ἐν Χαιρωνείᾳ 7
μάχη ἐγένετο, καὶ ἐν Ἰταλίᾳ τοῖς Ταραντίνοις πρὸς Λευκανοὺς τὴν μάχην,
ἐν ᾗ Ἀρχίδαμος ἐτελεύτησε, γενέσθαι.

Μετὰ δὲ ταῦτα Φίλιππος ἐν Κορίνθῳ κοινὸν τῶν Ἑλλήνων συνέδριον 21
συγκαλέσας, ᾔτει παρ᾽ αὐτῶν συμμαχίαν ἐπὶ τὸν πρὸς Πέρσας πόλεμον
ὡς δίκην ληψομένων παρ᾽ αὐτῶν ὑπὲρ τῆς ἐς τὰ ἱερὰ γενομένης παρανο-
μίας. τῶν δ᾽ Ἑλλήνων στρατηγὸν αὐτοκράτορα τῆς Ἑλλάδος ἑλομένων,
διατάξας ἑκάστῃ πόλει τὸ πλῆθος τῶν ἐς τὴν συμμαχίαν στρατιωτῶν

1 c. 19, 4 Diod. 16, 77, 4–81, 2; cf. supra 1, 49 || 4 c. 20 Diod. 16, 84–86. 87, 3. 88, 1–3 || 31 c. 21 Diod. 16, 89, 2–3. 91, 1–2. 4. 92, 1

11 ἐθορήβησε M || 28 πατρίδι; M πατρίδι. Diod. ed.

2 ἐπανῆλθεν ἐς τὴν Μακεδονίαν. ἤδη δ' ὀλυμπιὰς μὲν ἤγετο ἑνδεκάτη καὶ
ἑκατοστή. Φίλιππος δὲ πάσῃ σπουδῇ ἐπὶ τὸν πρὸς Πέρσας πόλεμον
παρεσκευάζετο. Ἄτταλον μὲν οὖν καὶ Παρμενίωνα, μέρος τῆς δυνάμεως
διδούς, προαπέστελλεν ἐς τὴν Ἀσίαν τὰς ἐκεῖ Ἑλληνίδας πόλεις ἐλευθερώ-
3 σοντας. αὐτὸς δ' ἐν Αἰγαῖς τῆς Μακεδονίας ἅμα μὲν τῆς ἐξ Ὀλυμπιάδος
θυγατρὸς ἑαυτοῦ Κλεοπάτρας ἐτέλει γάμους, Ἀλεξάνδρῳ αὐτὴν τῷ
Μολοττῶν βασιλεῖ ἐκδιδούς, ἅμα δὲ τοῖς θεοῖς θυσίας ἔθυε πολυτελεῖς
4 ὑπὲρ τῆς ἐς Ἀσίαν διαβάσεως. οὗτος Ἀλέξανδρος ἐν τοῖς ἀρίστοις τῶν
καθ' ἑαυτὸν βασιλέων γεγονὼς τά τε ἄλλα καὶ τὰ πολέμεια, διαβὰς ἐς
Ἰταλίαν Ταραντίνοις βοηθῶν, καὶ ἄριστα τοῖς ἐκεῖ πράγμασι χρησάμενος,
ἔν τινι μάχῃ καλῶς ἠγωνισμένος ἐτελεύτησεν, ὥσπερ καὶ Ἀρχίδαμος πρὸ
αὐτοῦ. Ὀλυμπιάδος δ' ἦν ἀδελφὸς ὁ Ἀλέξανδρος καὶ ἐγάμει τότε τὴν
ἀδελφιδῆν Κλεοπάτραν.

22 Φιλίππῳ μέντοι τούς τε γάμους τελοῦντι τούτους καὶ ὑπὲρ τῆς ἐς
Ἀσίαν ἅμα διαβάσεως θύοντι καὶ ἑορτάζοντι λαμπρῶς — καὶ γὰρ καὶ
ὡς πλείστους ἦν συγκεκληκὼς τῶν τε ἄλλων καὶ τῶν ἀπὸ τῆς Ἑλλάδος
2 φίλων — ἀπροσδόκητός τις ἐπῆλθε τελευτή. ἔσχε δὲ τὸ πρᾶγμα ὧδε.
Παυσανίας τις ἦν, τὸ μὲν γένος Μακεδὼν ἐξ Ὀρεστίδος τῆς Μακεδονίας,
τοῦ δὲ βασιλέως σωματοφύλαξ, καὶ διὰ κάλλος φίλος Φιλίππῳ γεγονώς.
οὗτος ὁρῶν ἕτερον ἑαυτῷ ὁμώνυμον Παυσανίαν ὑπὸ τοῦ βασιλέως
3 ἀγαπώμενον, φθονήσας ἐλοιδόρησεν, ἀνδρόγυνον ἀποκαλέσας. ὃ δ' Ἀτ-
τάλῳ τὸ λοιδόρημα ἔφρασε φίλῳ ὄντι, καὶ μετ' οὐ πολύ, Φιλίππου πρὸς
Πλευρίαν τὸν Ἰλλυριῶν βασιλέα διαγωνιζομένου, ὁ Παυσανίας οὗτος δὴ
ὁ λοιδορηθεὶς πρὸ τοῦ βασιλέως τάξας ἑαυτὸν καὶ λαμπρῶς ἠγωνισμένος
ἐτελεύτησεν. Ἀττάλῳ δὲ περιαλγεῖ γενομένῳ καὶ πρότερον ἐπὶ τῇ
λοιδορίᾳ τῇ τοῦ φίλου καὶ ὕστερον ἐπὶ τῇ τελευτῇ ἔδοξε δίκην παρὰ τοῦ
4 λοιδορήσαντος λαβεῖν. καὶ δὴ καλέσας ἐπὶ πότον καὶ ἀκράτου πολλοῦ
ἐμφορήσας, τοῖς ὀρεοκόμοις τὸ σῶμα παρέδωκεν ἐς ὕβριν. ὃ δ' ἐκνήψας
καὶ τῆς γε ὕβρεως αἰσθόμενος Ἀττάλου κατηγόρησεν ἐπὶ τοῦ βασιλέως·
ὄντος δ' Ἀττάλου ἅμα μὲν τῆς ἐπιγαμηθείσης Φιλίππῳ γυναικὸς Κλεο-
πάτρας ἀδελφιδοῦ, ἅμα δὲ γενναίου τὰ πολέμεια — δι' ἃ καὶ ἐς τὴν
Ἀσίαν προαπέστελλεν αὐτὸν —, οὐδὲν τῶν δικαίων ἐποίει Παυσανίᾳ
ὁ βασιλεύς, ἀλλ' ἄλλως ἐπειρᾶτο παραμυθεῖσθαι, τιμῶν καὶ δωρούμενος.
5 ὃ δ' οὐδὲν τούτοις ἐπραΰνετο, ἀλλ' οὐχ ἧττον τῷ μὴ τιμωροῦντι ἢ τῷ
ὑβρίσαντι ὀργιζόμενος, ἐπειδὴ καιροῦ, ὥς οἱ ἔδοξεν, ἐλάβετο, κτείνει
6 Φίλιππον. Φίλιππος μὲν γὰρ ἔτυχεν ἐστεφανωμένος πομπεύων ἐν λευ-

9 Strab. 6, 1, 5. 3, 4 || 14 c. 22 Diod. 16, 91, 5–6. 92, 5–94

5 *αἰγαῖς* M cum Diod. codd. RF *Αἰγέαις* Diod. ed.

*κῷ ἱματίῳ οὐ δορυφορούμενος· Παυσανίας δ' ἰδὼν οὐ δορυφορούμενον,
ἀλλὰ πόρρωθεν τοὺς σωματοφύλακας ἑπομένους, προσπεσὼν, ἔχων
κεκρυμμένον Κελτικὸν ξίφος, κεντεῖ καιρίαν διὰ τῆς πλευρᾶς. καὶ ὁ μὲν* 7
*ἔκειτο νεκρός· ὅ δ' ἔθεεν ἐπὶ τὸν ἑαυτῷ που παρεσκευασμένον ἵππον, καὶ
ἔφθασεν ἂν ἐπὶ τὸν ἵππον ἀναβὰς, εἰ μὴ ἀμπέλῳ τοῦ ποδὸς προσκεκοφότος
κατέπεσε. καὶ ἀνισταμένῳ οἱ ἐπιδιώκοντες ἐπιπεσόντες καὶ κατακεντήσαντες ἀνεῖλον· Ἄτταλος δ' ἦν καὶ Περδίκκας καὶ Λεοννάτος οἱ ἐπιδιώξαντες.*

Αὕτη ἡ τελευτὴ Φιλίππῳ ἐγένετο. καὶ τοῦτ' ἴσως ἐσήμαινε καὶ τὸ 23
λόγιον, ὃ αὐτῷ ἐκ Δελφῶν ἀσαφὲς τέως ἐχρήσθη χρωμένῳ·

ἔστεπται μὲν ὁ ταῦρος, ἔχει τέλος· ἔστι δ' ὁ θύσων·

ἴσως γὰρ ἐσήμαινε τὸν Φίλιππον ἐν ἑορτῇ καὶ θυσίαις θεῶν ἐστεφανωμένον δίκην ἱερείου τυθήσεσθαι. καὶ ἕτερον δὲ τούτου πρότερον τοῖς 2
Ἕλλησι λόγιον ἐκ Δελφῶν ἐχρήσθη·

*τῆς ἐπὶ Θερμώδοντι μάχης ἀπάνευθε γενοίμαν
αἰετὸς ἐν νεφέεσσι καὶ ἠέρι θηήσασθαι·
κλαίει ὁ νικηθεὶς, ὁ δὲ νικήσας ἀπόλωλεν.*

Θερμώδοντα μὲν γὰρ τὸν παρὰ Χαιρωνείᾳ εἶναι ποταμὸν, Φίλιππον δὲ τὴν μάχην ἐκείνην νενικηκότα καὶ ἔπειτ' οὐ πολὺν χρόνον ἐπιβεβιωκότα ἀποθανεῖν.

8 c. 23, 1 Diod. 16, 91, 2–3 || 12 c. 23, 2 Plut. Dem. 19, 1–2. 21, 4

7 *λεοννάτος* M, cf. etiam Suid. λ 249 Adler et al. *Λεόννατος* Diod. codd., sed *Λεοννάτος* deinceps (ex. gr. 17, 37, 3. 104, 5. 6) || 10 *ἔστι δ' ὁ* M *ἔστιν ὁ* Diod. ed., Paus. 8, 7, 6 || 12 *τυθήσεσθαι* M et v. l. Diod. cod. P[mg] *σφαγήσεσθαι* Diod. codd. ed. || 14 *γενοίμαν* M *-μην* Plut. ed.

INDEX NOMINVM[1])

1) In hoc indice homonyma secundum numeros in Paulys Real-Encyclopädie der classischen Altertumswissenschaft adhibitos, quatenus fieri potest, discriminata sunt.